# 25 ΜΑΡΤΙΟΥ

## *25-3,* **<u>Ο Ευαγγελισμός της Θεοτόκου</u>** *Σεβ. Μητροπολίτη Ναυπάκτου κ.Ιεροθέου*

*(ΕΑΝ ΠΕΣΕΙ ΚΥΡΙΑΚΗ, ΟΡΙΣΜΕΝΕΣ ΦΟΡΕΣ ΤΟ ΕΥΑΓΓΕΛΙΟ ΕΙΝΑΙ ΤΗΣ ΘΕΟΤΟΚΟΥ)*

Η εορτή του Ευαγγελισμού της Θεοτόκου είναι Δεσποτικοθεομητορική εορτή. Αυτό σημαίνει ότι είναι Δεσποτική επειδή αναφέρεται στον Δεσπότη Χριστό, ο οποίος συνελήφθη στην γαστέρα της Θεοτόκου, και θεομητορική εορτή επειδή αναφέρεται στο πρόσωπο εκείνο που συνετέλεσε στην σύλληψη και την ενανθρώπηση του Λόγου του Θεού, δηλαδή την Παναγία. Η Θεοτόκος Μαρία έχει μεγάλη αξία και σπουδαία θέση στην Εκκλησία, ακριβώς γιατί ήταν το πρόσωπο εκείνο που περίμεναν όλες οι γενεές, και αυτή έδωσε στον Λόγο του Θεού την ανθρώπινη φύση. Έτσι, το πρόσωπο της Θεοτόκου συνδέεται στενά με το Πρόσωπο του Χριστού. Και η αξία της Παναγίας δεν οφείλεται μόνον στις αρετές της, αλλά κυρίως στον καρπό της κοιλίας της. Γι' αυτό, η Θεοτοκολογία συνδέεται στενώτατα με την Χριστολογία. Όταν κάνουμε λόγο για τον Χριστό δεν μπορούμε να αγνοήσουμε αυτήν που του έδωσε σάρκα, και όταν κάνουμε λόγο για την Παναγία, αναφερόμαστε ταυτόχρονα και στον Χριστό, γιατί από Αυτόν αντλεί Χάρη και αξία. Αυτό φαίνεται καθαρά στην ακολουθία των Χαιρετισμών, στην οποία υμνείται η Θεοτόκος, αλλά πάντοτε εν συνδυασμώ με το ότι είναι μητέρα του Χριστού: "Χαίρε ότι υπάρχεις βασιλέως καθέδρα, χαίρε ότι βαστάζεις τον βαστάζοντα πάντα". Αυτός ο σύνδεσμος Χριστολογίας και Θεοτοκολογίας φαίνεται και στην ζωή των αγίων. Ένα χαρακτηριστικό γνώρισμα των αγίων, που είναι τα πραγματικά μέλη του Σώματος του Χριστού, είναι ότι αγαπούν την Παναγία. Είναι αδύνατον να υπάρχη άγιος ο οποίος δεν την αγαπά.

Ο Ευαγγελισμός της Θεοτόκου είναι η αρχή όλων των Δεσποτικών εορτών. Στο απολυτίκιο της εορτής ψάλλουμε: "σήμερον της σωτηρίας ημών το κεφάλαιον και του απ' αιώνος μυστηρίου η φανέρωσις...". Το περιεχόμενο της εορτής αναφέρεται στο γεγονός κατά το οποίο ο αρχάγγελος Γαβριήλ – ο άγγελος εκείνος με τον οποίο συνδέονται όλα τα γεγονότα που έχουν σχέση με την ενανθρώπηση του Χριστού – επισκέφθηκε με εντολή του Θεού την Παναγία και την πληροφόρησε ότι έφθασε ο καιρός της σαρκώσεως του Λόγου

του Θεού, και ότι αυτή θα γίνη η μητέρα Του. (βλ. Λουκά α', 26-56). Η λέξη "ευαγγελισμός" αποτελείται από δύο επί μέρους λέξεις, ήτοι εύ και αγγελία, και δηλώνει την καλή είδηση, την καλή αγγελία. Πρόκειται για την πληροφορία που δόθηκε δια του αρχαγγέλου ότι ο Λόγος του Θεού θα ενανθρωπήση για την σωτηρία του ανθρώπου. Ουσιαστικά πρόκειται για την εκπλήρωση της υποσχέσεως του Θεού, που δόθηκε μετά την πτώση του Αδάμ και της Εύας (βλ. Γεν. γ', 15), η οποία λέγεται πρωτευαγγέλιο. Γι' αυτό, η πληροφορία της ενανθρωπήσεως του Λόγου του Θεού είναι η μεγαλύτερη είδηση μέσα στην ιστορία. Κατά τον άγιο Μάξιμο τον Ομολογητή, το ευαγγέλιο του Θεού είναι πρεσβεία του Θεού και παράκληση στους ανθρώπους δια του σαρκωθέντος Υιού Του. Παράλληλα είναι και η καταλλαγή των ανθρώπων με τον Πατέρα, ο Οποίος δίνει ως μισθό την αγέννητη θέωση σε αυτούς που υπακούουν στον Χριστό. Η θέωση λέγεται αγέννητη γιατί δεν γεννάται, αλλά φανερώνεται στους αξίους. Επομένως, η θέωση που προσφέρεται δια του ενανθρωπήσαντος Χριστού δεν είναι γέννηση, αλλά φανέρωση δια της ενυποστάτου ελλάμψεως σε αυτούς που είναι άξιοι αυτής της αποκαλύψεως. Η καλή αγγελία, το ευαγγέλιο, ο ευαγγελισμός είναι διόρθωση των γεγονότων που έγιναν στην αρχή της δημιουργίας του ανθρώπου, στον αισθητό Παράδεισο της Εδέμ. Εκεί από γυναίκα άρχισε η πτώση και τα αποτελέσματά της, εδώ από γυναίκα άρχισαν όλα τα αγαθά. Έτσι, η Παναγία είναι η νέα Εύα. Εκεί υπήρχε ο αισθητός Παράδεισος, εδώ η Εκκλησία. Εκεί ο Αδάμ, εδώ ο Χριστός. Εκεί η Εύα, εδώ η Μαρία. Εκεί ο όφις, εδώ ο Γαβριήλ. Εκεί ο ψιθυρισμός του δράκοντος-όφεως στην Εύα, εδώ ο χαιρετισμός του αγγέλου στην Μαρία (Ιωσήφ Βρυένιος). Με αυτόν τον τρόπο διορθώθηκε το σφάλμα του Αδάμ και της Εύας. (ταις αυτης αγίαις πρεσβείαις, Χριστέ ο Θεός, ελέησον ημας).

http://clubs.pathfinder.gr/panagia/1027686

**Εσπερινός**. *Ι. ευλογητός ο Θεός…*

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ. Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

*Ψαλμὸς 103*

Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Κύριε ὁ Θεός μου, ἐμεγαλύνθης σφόδρα, ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον, ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν· ὁ

στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ, ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων· ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύματα καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος. ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα· ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν. ἀναβαίνουσιν ὄρη καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον ὃν ἐθεμελίωσας αὐτά· ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν. ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνὰ μέσον τῶν ὀρέων διελεύσονται ὕδατα· ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν· ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει, ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν. ποτίζων ὄρη ἐκ τῶν ὑπερῴων αὐτοῦ, ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ. ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς· καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ, καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει. χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας. ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ οἰκία ἡγεῖται αὐτῶν. ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγωοῖς. ἐποίησε σελήνην εἰς καιρούς, ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ. ἔθου σκότος, καὶ ἐγένετο νύξ· ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ. σκύμνοι ὠρυόμενοι τοῦ ἁρπάσαι καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς. ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται. ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας. ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου. αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετά, ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων· ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ. πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον. δόντος σου αὐτοῖς συλλέξουσιν, ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος. ἀποστρέψαντος δέ σου τὸ πρόσωπον ταραχθήσονται· ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν. ἐξαποστελεῖς τὸ πνεῦμά σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς. ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας, εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ· ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν, ὁ ἁπτόμενος τῶν ὀρέων καὶ καπνίζονται. ᾄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω· ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ. ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον. Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ. Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας. Δόξα... Καὶ νῦν… Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ'). Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

***Ι. Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν...***

**ὁ α' χορός**

**Ἦχος πλ.β'. Ψαλμὸς ρμ' (140)**

- **Ἀ**μήν. **Κ**ύριε ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου, εἰσάκουσόν μου, Κύριε. Κύριε, ἐκέκραξα πρὸς σέ, εἰσάκουσόν μου πρόσχες τῇ φωνῇ τῆς δεήσεώς μου, ἐν τῷ κεκραγέναι με πρὸς σὲ εἰσάκουσόν μου, Κύριε.

**ὁ β' χορός**

- **Κ**ατευθυνθήτω ἡ προσευχή μου, ὡς θυμίαμα ἐνώπιόν σου ἔπαρσις τῶν χειρῶν μου θυσία ἑσπερινὴ εἰσάκουσόν μου, Κύριε.

**ὁ α' χορός**

**Στίχ. Ἐ**ὰν ἀνομίας παρατηρήσῃς, Κύριε, Κύριε τίς ὑποστήσεται; ὅτι παρὰ σοὶ ὁ ἱλασμός ἐστιν.

**Ὅλην ἀποθέμενοι**

**Β**ουλὴν προαιώνιον, ἀποκαλύπτων σοι Κόρη, Γαβριὴλ ἐφέστηκε, σὲ κατασπαζόμενος, καὶ φθεγγόμενος· Χαῖρε γῆ ἄσπορε, χαῖρε βάτε ἄφλεκτε, χαῖρε βάθος δυσθεώρητον, χαῖρε ἡ γέφυρα, πρὸς τοὺς οὐρανοὺς ἡ μετάγουσα, καὶ κλῖμαξ ἡ μετάρσιος, ἣν ὁ Ἰακὼβ ἐθεάσατο· χαῖρε θεία στάμνε τοῦ Μάννα, χαῖρε λύσις τῆς ἀρᾶς, χαῖρε Ἀδάμ ἡ ἀνάκλησις, μετὰ σοῦ ὁ Κύριος.

**ὁ β' χορός**

**Στίχ. Ἕ**νεκεν τοῦ ὀνόματός σου ὑπέμεινά σε, Κύριε, ὑπέμεινεν ἡ ψυχή μου εἰς τὸν λόγον σου, ἤλπισεν ἡ ψυχή μου ἐπὶ τὸν Κύριον.
**Β**ουλὴν προαιώνιον...

**ὁ α' χορός**

**Στίχ. Ἀ**πὸ φυλακῆς πρωΐας μέχρι νυκτός, ἀπὸ φυλακῆς πρωΐας, ἐλπισάτω Ἰσραὴλ ἐπὶ τὸν Κύριον.

**Φ**αίνῃ μοι ὡς ἄνθρωπος, φησὶν ἡ ἄφθορος Κόρη, πρὸς τὸν Ἀρχιστράτηγον, καὶ πῶς φθέγγῃ ῥήματα ὑπὲρ ἄνθρωπον· μετ' ἐμοῦ ἔφης γάρ, τὸν Θεὸν ἔσεσθαι, καὶ σκηνώσειν ἐν τῇ μήτρᾳ μου, καὶ πῶς γενήσομαι, λέγε μοι χωρίον εὐρύχωρον, καὶ τόπος ἁγιάσματος, τοῦ τοῖς Χερουβὶμ ἐπιβαίνοντος; Μὴ με δελεάσῃς ἀπάτῃ· οὐ γὰρ ἔγνων ἡδονήν, γάμου ὑπάρχω ἀμύητος, πῶς οὖν παῖδα τέξομαι!

**ὁ β' χορός**

**Στίχ. Ὅ**τι παρὰ τῷ Κυρίῳ τὸ ἔλεος καὶ πολλὴ παρ' αὐτῷ λύτρωσις' καὶ αὐτὸς λυτρώσεται τὸν Ἰσραὴλ ἐκ πασῶν τῶν ἀνομιῶν αὐτοῦ.

**Φ**αίνῃ μοι ὡς ἄνθρωπος...

**ὁ α' χορός**

**Στίχ. Α**ἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη ἐπαινέσατε αὐτὸν πάντες οἱ λαοί.

**Θ**εὸς ὅπου βούλεται, νικᾶται φύσεως τάξις, φησὶν ὁ Ἀσώματος, καὶ τὰ ὑπὲρ ἄνθρωπον διαπράττεται. τοῖς ἐμοῖς πίστευε, ἀληθέσι ῥήμασι, Παναγία ὑπεράμωμε· Ἡ δὲ ἐβόησε· Γένοιτό μοι νῦν ὡς τὸ ῥῆμά σου, καὶ τέξομαι τὸν ἄσαρκον, σάρκα ἐξ ἐμοῦ δανεισάμενον, ὅπως ἀναγάγῃ τὸν ἄνθρωπον, ὡς μόνος δυνατός, είς τὸ ἀρχαῖον ἀξίωμα, διὰ τῆς συγκράσεως.

**ὁ β' χορός**

**Στίχ. Ὅ**τι ἐκραταιώθη τὸ ἔλεος αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἡ ἀλήθεια τοῦ Κυρίου μένει είς τὸν αἰῶνα.

**Θ**εὸς ὅπου βούλεται...

**ὁ α' χορός**
**Δόξα Πατρί... Ἦχος πλ. β'**

**ὁ β' χορός**
**Καὶ νῦν...**

**ὁ α' χορός**
**Ἰωάννου Μοναχοῦ**

**Ἀ**πεστάλη ἐξ οὐρανοῦ Γαβριὴλ ὁ Ἀρχάγγελος, εὐαγγελίσασθαι τῇ Παρθένῳ τὴν σύλληψιν· καὶ ἐλθὼν είς Ναζαρέτ, ἐλογίζετο ἐν ἑαυτῷ, τῷ θαῦμα ἐκπληττόμενος· ὅτι, Πῶς ὁ ἐν ὑψίστοις ἀκατάληπτος ὤν, ἐκ παρθένου τίκτεται! ὁ ἔχων θρόνον οὐρανόν, καὶ ὑποπόδιον τὴν γῆν, ἐν μήτρᾳ χωρεῖται γυναικός! ᾧ τὰ Ἑξαπτέρυγα καὶ Πολυόμματα ἀτενίσαι οὐ δύνανται, λόγῳ μόνῳ ἐκ ταύτης σαρκωθῆναι ηὐδόκησε, Θεοῦ ἐστι Λόγος ὁ παρών. Τί οὖν ἵσταμαι, καὶ οὐ λέγω τῇ Κόρῃ; Χαῖρε Κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ, χαῖρε ἁγνὴ Παρθένε, χαῖρε Νύμφη ἀνύμφευτε, χαῖρε Μήτηρ τῆς ζωῆς, εὐλογημένος ὁ καρπὸς **τῆς κοιλίας σου.**

**Εἴσοδος. Σοφία Ὀρθοί ! Ἦχος β'**

**Φ**ῶς ἱλαρὸν ἁγίας δόξης, ἀθανάτου Πατρός, οὐρανίου, ἁγίου, μάκαρος, Ἰησοῦ Χριστέ, ἐλθόντες ἐπὶ τὴν ἡλίου δύσιν, ἰδόντες φῶς ἑσπερινόν, ὑμνοῦμεν Πατέρα, Υἱόν, καὶ ἅγιον Πνεῦμα Θεόν. Ἄξιόν σε ἐν πᾶσι καιροῖς, ὑμνεῖσθαι φωναῖς αἰσίαις, Υἱὲ Θεοῦ, ζωὴν ὁ διδούς, Διὸ ὁ κόσμος **σὲ δοξάζει.**

**Ι.** Ἑσπέρας Προκείμενον, ***ὁ α' χορός, Σάββατον, Ἦχος β'***
Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο (3).
***ὁ β' χορός, Στίχ.*** Ἐνεδύσατο Κύριος δύναμιν, καὶ περιεζώσατο.
Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.
***ὁ α' χορός Στίχ.*** Καὶ γὰρ ἐστερέωσε τὴν οἰκουμένην, ἥτις οὐ

σαλευθήσεται.
Ὁ Κύριος ἐβασίλευσεν, εὐπρέπειαν ἐνεδύσατο.
***Τῇ Κυριακῇ ἑσπέρας. Ἦχος πλ. δ΄.***
Ἰδοὺ δὴ εὐλογεῖτε τὸν Κύριον, πάντες οἱ δοῦλοι Κυρίου.
***Στίχ.*** Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.
***Τῇ Δευτέρᾳ ἑσπέρας. Ἦχος δ΄.***
Κύριος εἰσακούσεταί μου ἐν τῷ κεκραγέναι με πρὸς αὐτόν.
***Στίχ.*** Ἐν τῷ ἐπικαλεῖσθαι με εἰσήκουσάς μου, ὁ Θεὸς τῆς δικαιοσύνης μου, ἐν θλίψει ἐπλάτυνάς με.
***Τῇ Τρίτῃ ἑσπέρας. Ἦχος α΄***
Τὸ ἔλεός σου, Κύριε, καταδιώξει με πάσας τὰς ἡμέρας τῆς ζωῆς μου.
***Στίχ.*** Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει.
***Τῇ Τετάρτῃ ἑσπέρας. Ἦχος πλ. α΄.***
Ὁ Θεός, ἐν τῷ ὀνόματί σου σῶσον με, καὶ ἐν τῇ δυνάμει σου κρινεῖς με.
***Στίχ.*** Ὁ Θεὸς εἰσάκουσον τῆς προσευχῆς μου,ἐνώτισαι τὰ ῥήματα τοῦ στόματός μου.
***Τῇ Πέμπτῃ ἑσπέρας***
***ὁ α' χορός***
**Ἡ** βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.
***ὁ β' χορός***
**Ἡ** βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος τὸν οὐρανὸν καὶ τὴν γῆν.
***ὁ α' χορός***
***Στίχ.*** **Ἦ**ρα τους ὀφθαλμούς μου εἰς τὰ ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.
**Ἡ** βοήθειά μου παρὰ Κυρίου, τοῦ ποιήσαντος **τὸν οὐρανὸν καὶ τὴν γῆν.**
***Τῇ Παρασκευῇ ἑσπέρας, Ἦχος βαρύς.***
Ὁ Θεὸς ἀντιλήπτωρ μου εἶ, τὸ ἔλεός σου προφθάσει με.
***Στίχ.*** Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καὶ ἐκ τῶν ἐπανισταμένων ἐπ΄ἐμὲ λύτρωσαί με.

**Γενέσεως τὸ Ἀνάγνωσμα,** *(Κεφ. 28, 10-17)*
**Ἐ**ξῆλθεν Ἰακὼβ ἀπὸ τοῦ φρέατος τοῦ ὅρκου καὶ ἐπορεύθη εἰς Χαρράν. Καὶ ἀπήντησε τόπῳ, καὶ ἐκοιμήθη ἐκεῖ· ἔδυ γὰρ ὁ ἥλιος· καὶ ἔλαβεν ἀπὸ τῶν λίθων τοῦ τόπου, καὶ ἔθηκε πρὸς κεφαλῆς αὐτοῦ, καὶ ἐκοιμήθη ἐν τῷ τόπῳ ἐκείνῳ, καὶ ἐνυπνιάσθη. Καὶ ἰδοὺ κλῖμαξ ἐστηριγμένη ἐν τῇ γῇ, ἧς ἡ κεφαλὴ ἀφικνεῖτο εἰς τὸν Οὐρανόν, καὶ οἱ Ἄγγελοι τοῦ Θεοῦ ἀνέβαινον καὶ κατέβαινον ἐπ' αὐτῆς. Ὁ δὲ Κύριος ἐπεστήρικτο ἐπ' αὐτῆς, καὶ εἶπεν· Ἐγὼ εἰμι ὁ Θεὸς Ἀβραὰμ τοῦ πατρός σου, καὶ ὁ Θεὸς Ἰσαάκ, μὴ φοβοῦ, ἡ γῆ, ἐφ' ἧς σὺ καθεύδεις ἐπ' αὐτῆς, σοὶ δώσω αὐτήν, καὶ τῷ σπέρματί σου. Καὶ ἔσται τὸ σπέρμα σου ὡσεὶ ἄμμος τῆς γῆς καὶ πλατυνθήσεται ἐπὶ θάλασσαν, καὶ λίβα, καὶ βοῤῥᾶν, καὶ ἐπὶ ἀνατολάς, καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, καὶ ἐν τῷ σπέρματί σου. Καὶ ἰδοὺ ἐγὼ εἰμι μετὰ σοῦ, διαφυλάσσων σε ἐν τῇ ὁδῷ πάσῃ, οὗ ἐὰν πορευθῇς, καὶ ἐπιστρέψω σε εἰς τὴν γῆν ταύτην, ὅτι οὐ μὴ σε ἐγκαταλίπω, ἕως τοῦ ποιῆσαι με πάντα ὅσα ἐλάλησά σοι. Καὶ ἐξηγέρθη Ἰακὼβ ἐκ τοῦ ὕπνου αὐτοῦ καὶ εἶπεν· Ὅτι ἐστὶ Κύριος ἐν τῷ τόπῳ τούτῳ, ἐγὼ δὲ οὐκ ᾔδειν. Καὶ ἐφοβήθη, καὶ εἶπεν· Ὡς φοβερὸς ὁ τόπος οὗτος! Οὐκ ἔστι τοῦτο, ἀλλ' ἢ οἶκος Θεοῦ, καὶ αὕτη ἡ πύλη τοῦ οὐρανοῦ.

**Προφητείας, Ἰεζεκιὴλ τὸ Ἀνάγνωσμα**
(Κεφ. 43, 27 & 44, 1-4)
**Ἔ**σται ἀπὸ τῆς ἡμέρας τῆς ὀγδόης καὶ ἐπέκεινα, ποιήσουσιν οἱ Ἱερεῖς ἐπὶ τὸ θυσιαστήριον τὰ ὁλοκαυτώματα ὑμῶν, καὶ τὰ τοῦ σωτηρίου ὑμῶν, καὶ

προσδέξομαι ὑμᾶς, λέγει Κύριος (μδ' 1). Καὶ ἐπέστρεψέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν Ἁγίων τῆς ἐξωτέρας τῆς βλεπούσης κατὰ ἀνατολάς, καὶ αὕτη ἦν κεκλεισμένη. Καὶ εἶπε Κύριος πρὸς με· Ἡ πύλη αὕτη κεκλεισμένη ἔσται, ούκ ἀνοιχθήσεται, καὶ ούδεὶς ού μὴ διέλθῃ δι' αύτῆς, ὅτι Κύριος ὁ Θεός, Ἰσραὴλ είσελεύσεται δι' αύτῆς, καὶ ἔσται κεκλεισμένη. Διότι ὁ Ἡγούμενος οὗτος κάθηται ἐπ' αύτὴν τοῦ φαγεῖν ἄρτον ἐνώπιον Κυρίου, κατὰ τὴν ὁδὸν τοῦ Αἰλὰμ τῆς πύλης είσελεύσεται, καὶ κατὰ τὴν ὁδὸν αύτοῦ ἐξελεύσεται. Καὶ είσήγαγέ με κατὰ τὴν ὁδὸν τῆς πύλης τῶν Ἁγίων τῆς πρὸς βορρᾶν, κατέναντι τοῦ οἴκου· καὶ εἶδον καὶ ἰδοὺ πλήρης δόξης ὁ οἶκος Κυρίου.

**Παροιμιῶν τὸ Ἀνάγνωσμα**

(Κεφ. 9, 1-11)

**Ἡ** σοφία ᾠκοδόμησεν ἑαυτῇ οἶκον καὶ ὑπήρεισε στύλους ἑπτά. Ἔσφαξε τὰ ἑαυτῆς θύματα, καὶ ἐκέρασεν είς κρατῆρα τὸν ἑαυτῆς οἶνον, καὶ ἡτοιμάσατο τὴν ἑαυτῆς τράπεζαν. Ἀπέστειλε τοὺς ἑαυτῆς δούλους, συγκαλοῦσα μετὰ ὑψηλοῦ κηρύγματος, ὡς ἐπὶ κρατῆρα, λέγουσα· Ὃς ἐστιν ἄφρων, ἐκκλινάτω πρὸς με, καὶ τοῖς ἐνδεέσι φρενῶν εἶπεν· Ἔλθετε φάγετε τὸν ἐμὸν ἄρτον, καὶ πίετε οἶνον, ὃν κεκέρακα ὑμῖν, ἀπολίπετε ἀφροσύνην, καὶ ζήσεσθε, καὶ ζητήσατε φρόνησιν, ἵνα βιώσητε, καὶ κατορθώσητε σύνεσιν ἐν γνώσει, ὁ παιδεύων κακούς, λήψεται ἑαυτῷ ἀτιμίαν, ἐλέγχων δὲ τὸν ἀσεβῆ, μωμήσεται ἑαυτόν, (οἱ γὰρ ἔλεγχοι τῷ ἀσεβεῖ, μώλωπες αύτῷ). Μὴ ἔλεγχε κακούς, ἵνα μὴ μισήσωσί σε, ἔλεγχε σοφὸν καὶ ἀγαπήσει σε. Δίδου σοφῷ ἀφορμήν, καὶ σοφώτερος ἔσται, γνώριζε δικαίῳ, καὶ προσθήσει τοῦ δέχεσθαι. Ἀρχὴ σοφίας, φόβος Κυρίου, καὶ βουλὴ Ἁγίων, σύνεσις, (τὸ γὰρ γνῶναι Νόμον, διανοίας ἐστὶν ἀγαθῆς) · τούτῳ γὰρ τῷ τρόπῳ πολὺν ζήσεις χρόνον, καὶ προστεθήσεταί σοι **ἔτη ζωῆς.**

***Εἴπωμεν πάντες....κλπ. Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος...***

**Ὁ Ἀρχιερεὺς ἢ ὁ Ἀναγνώστης**

**Ἀ**μήν. **Κ**αταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου είς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε. δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισον μὲ τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου είς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

***Πληρώσωμεν τὴν ἑσπερινὴν...κλπ ...Είη τὸ κράτος τῆς βασιλείας...***

..........................................................................................

Είς τὴν Λιτήν, ψάλλομεν τὰ παρόντα Ἰδιόμελα Στιχηρά.

Ἦχος α', Βύζαντος

Τῷ ἕκτῳ μηνί, ὁ Ἀρχιστράτηγος ἀπεστάλη πρὸς σὲ τὴν Παρθένον καὶ Ἁγνήν, μηνῦσαί σοι τὸν λόγον τῆς σωτηρίας, ἅμα δὲ καὶ καλέσαι σε· Χαῖρε Κεχαριτωμένη ὁ Κύριος μετὰ σοῦ· τέξῃ Υἱόν, τὸν πρὸ αἰώνων ἐκ Πατρός, ὃς σώσει τὸν λαὸν αὐτοῦ, ἐκ τῶν πταισμάτων αὐτῶν.

Ὁ αὐτὸς, Ἀνατολίου

Ἐν τῷ μηνὶ τῷ ἕκτῳ, ἀπεστάλη οὐρανόθεν Γαβριὴλ ὁ Ἀρχάγγελος, ἐν πόλει τῆς Γαλιλαίας Ναζαρέτ, κομίσαι τῇ Κόρῃ χαρᾶς εὐαγγέλια, καὶ προσελθὼν πρὸς αὐτὴν ἐβόησε λέγων· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, χαῖρε δοχεῖον τῆς ἀχωρήτου φύσεως· ὃν γὰρ οὐρανοὶ οὐκ ἐχώρησαν, ἡ νηδύς σου κεχώρηκεν εὐλογημένη· Χαῖρε σεμνή, τοῦ Ἀδὰμ ἡ ἀνάκλησις, καὶ τῆς Εὕας ἡ λύτρωσις, καὶ χαρὰ τοῦ κόσμου, καὶ ἀγαλλίασις τοῦ γένους ἡμῶν.

Ὁ αὐτὸς

Ἀπεστάλη Ἄγγελος Γαβριήλ, οὐρανόθεν ἐκ Θεοῦ, πρὸς Παρθένον ἀμόλυντον, εἰς πόλιν τῆς Γαλιλαίας Ναζαρέτ, εὐαγγελίσασθαι αὐτῇ τοῦ ξένου τρόπου τὴν σύλληψιν. Ἀπεστάλη δοῦλος ἀσώματος, πρὸς ἔμψυχον πόλιν καὶ πύλην νοεράν, μηνύσαι Δεσποτικῆς παρουσίας τὴν συγκατάβασιν. Ἀπεστάλη στρατιώτης οὐράνιος, πρὸς τὸ ἔμψυχον τῆς δόξης Παλάτιον, προετοιμάσαι τῷ Κτίστῃ κατοικίαν ἄληκτον, καὶ προσελθὼν πρὸς αὐτὴν ἐκραύγαζε· Χαῖρε θρόνε πυρίμορφε, τῶν τετραμόρφων ὑπερενδοξοτέρα, Χαῖρε καθέδρα, Βασιλικὴ οὐράνιε, χαῖρε ὄρος ἀλατόμητον, δοχεῖον πανέντιμον· ἐν σοὶ γὰρ πᾶν τὸ πλήρωμα κατῴκησε, τῆς Θεότητος σωματικῶς, εὐδοκίᾳ Πατρός ἀϊδίου, καὶ συνεργείᾳ τοῦ Ἁγίου Πνεύματος, Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ Σοῦ.
Δόξα... Καὶ νῦν...
Ἦχος β', Κοσμᾶ Μοναχοῦ
Εὐαγγελίζεται ὁ Γαβριὴλ τῇ Κεχαριτωμένῃ σήμερον· Χαῖρε ἀνύμφευτε Κόρη καὶ ἀπειρόγαμε, μὴ καταπλαγῇς τῇ ξένῃ μου μορφῇ, μηδὲ δειλιάσῃς, Ἀρχάγγελός εἰμι, ὄφις ἐξηπάτησεν Εὔαν ποτέ, νῦν εὐαγγελίζομαί σοι τὴν χαράν, καὶ μενεῖς ἄφθορος, καὶ τέξῃ τὸν Κύριον Ἄχραντε.
..............................................................

**Ἀπόστιχα**
**Στιχηρὰ Ἰδιόμελα**

**ὁ α' χορός**
**Ἦχος δ'**

**Ἀ**μήν. **Τ**ῷ ἕκτῳ μηνί, ἀπεστάλη ὁ Ἀρχάγγελος πρὸς Παρθένον ἁγνήν, καὶ χαίρειν αὐτῇ προσειπών, εὐηγγελίσατο ἐξ αὐτῆς τὸν Λυτρωτὴν προελθεῖν. Ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμόν, συνέλαβέ σε τὸν προαιώνιον Θεόν, τὸν ἀφράστως εὐδοκήσαντα ἐνανθρωπῆσαι, εἰς σωτηρίαν τῶν ψυχῶν ἡμῶν.

- **ὁ β' χορός**

**Στίχ. Ε**ὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.
**Γ**λῶσσαν ἣν οὐκ ἔγνω, ἤκουσεν ἡ Θεοτόκος· ἐλάλει γὰρ πρὸς αὐτὴν ὁ Ἀρχάγγελος, τοῦ Εὐαγγελισμοῦ τὰ ῥήματα· ὅθεν πιστῶς δεξαμένη τὸν ἀσπασμόν, συνέλαβέ σε τὸν προαιώνιον Θεόν. Διὸ καὶ ἡμεῖς ἀγαλλόμενοι βοῶμέν σοι· ὁ ἐξ αὐτῆς σαρκωθεὶς ἀτρέπτως Θεός, εἰρήνην τῷ κόσμῳ δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος.

- **ὁ α' χορός**

**Στίχ. Ἄι**σατε τῷ Κυρίῳ ᾆσμα καινόν.
**Ἰ**δοὺ ἡ ἀνάκλησις νῦν ἐπέφανεν ἡμῖν, ὑπὲρ λόγον ὁ Θεὸς τοῖς ἀνθρώποις ἑνοῦται, Ἀρχαγγέλου τῇ φωνῇ ἡ πλάνη ἐκμειοῦται· ἡ Παρθένος γὰρ δέχεται τὴν χαράν, τὰ ἐπίγεια γέγονεν οὐρανός, ὁ κόσμος λέλυται τῆς ἀρχαίας ἀρᾶς. Ἀγαλλιάσθω ἡ κτίσις καὶ φωναῖς ανυμνείτω. Ὁ ποιητὴς καὶ λυτρωτὴς ἡμῶν, Κύριε δόξα σοι.

**ὁ β' χορός**
**Δόξα Πατρί... ἦχος δ '**

**ὁ α' χορός**
**Καὶ νῦν...**

**ὁ β' χορός**
**Ἀνδρέου Ἱεροσολυμίτου**

**Σ**ήμερον χαρᾶς Εὐαγγέλια, παρθενικὴ πανήγυρις, τὰ κάτω τοῖς ἄνω συνάπτεται, ὁ Ἀδὰμ καινουργεῖται, ἡ Εὔα τῆς πρώτης λύπης ἐλευθεροῦται, καὶ ἡ σκηνὴ τῆς καθ' ἡμᾶς οὐσίας τῇ θεώσει τοῦ προσληφθέντος φυράματος, ναὸς Θεοῦ

κεχρημάτικεν. Ὢ Μυστήριον! ὁ τρόπος τῆς κενώσεως ἄγνωστος, ὁ τρόπος τῆς συλλήψεως ἄφραστος, Ἄγγελος λειτουργεῖ τῷ θαύματι, παρθενικὴ γαστὴρ τὸν Υἱὸν ὑποδέχεται, Πνεῦμα Ἅγιον καταπέμπεται, Πατὴρ ἄνωθεν εὐδοκεῖ, καὶ τὸ συνάλλαγμα, κατὰ κοινὴν πραγματεύεται βούλησιν, ἐν ᾧ, καὶ δι' οὗ σωθέντες, συνῳδὰ τῷ Γαβριήλ, πρὸς τὴν Παρθένον βοήσωμεν· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ἐξ ἧς ἡ σωτηρία, Χριστὸς ὁ Θεός ἡμῶν, τὴν καθ' ἡμᾶς προσλαβόμενος φύσιν, πρὸς ἑαυτὸν ἐπανήγαγεν· Αὐτὸν ἱκέτευε, **σωθῆναι τὰς ψυχὰς ἡμῶν.**

**νυν απολύεις…Τρισάγιον….**

**Ἀπολυτίκιον. Ἦχος δ΄.**

**Ἀ**μήν.**Σ**ήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον, καὶ τοῦ ἀπ' αἰῶνος Μυστηρίου ἡ φανέρωσις, ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται. Διὸ σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

**ὁ β' χορός**

**Σ**ήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον…

**ὁ α' χορός**

**Σ**ήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον, καὶ τοῦ ἀπ' αἰῶνος Μυστηρίου ἡ φανέρωσις, ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται. Διὸ σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν· Χαῖρε Κεχαριτωμένη, **ὁ Κύριος μετὰ σοῦ.**

**Ἀπόλυσις**

«…**Ὁ δι᾽ ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν ἐκ Πνεύματος ἁγίου καὶ Μαρίας τῆς Παρθένου σαρκωθῆναι καταδεξάμενος, Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν**….»

**25 ΜΑΡΤΙΟΥ**

**Ο ΕΥΑΓΓΕΛΙΣΜΟΣ ΤΗΣ ΥΠΕΡΑΓΙΑΣ ΔΕΣΠΟΙΝΗΣ ΗΜΩΝ ΘΕΟΤΟΚΟΥ ΚΑΙ ΑΕΙΠΑΡΘΕΝΟΥ ΜΑΡΙΑΣ.**
**ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ**

**Μετὰ τὸν Ἑξάψαλμον…**

**Συναπτὴ μεγάλη καὶ ἡ Ἐκφώνησις**
***Ὅτι πρέπει σοι πᾶσα δόξα…***
**Ἦχος δ'**
**ὁ α' χορὸς**
**Ἀμήν.**

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

**ὁ β' χορὸς**

**Στίχ, α'. Ἐ**ξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν…

**ὁ α' χορὸς**

**Στίχ, β'. Π**άντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν…

**ὁ β' χορὸς**

**Στίχ, γ'. Π**αρὰ Κυρίου ἐγένετο αὕτη, καί ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.
Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν…

**ὁ α' χορός**
**Ἦχος δ'.**

**Σ**ήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον, καὶ τοῦ ἀπ' αἰῶνος Μυστηρίου ἡ φανέρωσις, ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται, Διὸ σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν, Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

**ὁ β' χορός**

**Σ**ήμερον τῆς σωτηρίας…

**ὁ α' χορός**

**Σ**ήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον, καὶ τοῦ ἀπ' αἰῶνος Μυστηρίου ἡ φανέρωσις, ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται, Διὸ σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν, Χαῖρε Κεχαριτωμένη, **ὁ Κύριος μετὰ σοῦ.**

**Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις**
***Ὅτι σὸν τὸ κράτος…***

## Μετὰ τὴν α' Στιχολογίαν
## ΚΑΘΙΣΜΑΤΑ
### ὁ α’ χορός
### Ἦχος α’. Τὸν τάφον σου Σωτὴρ

**Ὁ** μέγας Στρατηγός, τῶν ἀΰλων ταγμάτων, εἰς πόλιν Ναζαρέτ, ἐπιστὰς Βασιλέα, μηνύει σοι Ἄχραντε, τῶν αἰώνων καὶ Κύριον, Χαῖρε, λέγων σοι, Εὐλογημένη Μαρία, ἀκατάληπτον, καὶ ἀνερμήνευτον θαῦμα, βροτῶν ἡ ἀνάκλησις.

### ὁ β’ χορός
### Δόξα Πατρί... Καὶ νῦν...

**Ὁ** μέγας Στρατηγός...

## Μετὰ τὴν β’ Στιχολογίαν.
### ὁ α’ χορός
### Ἦχος γ’. Τὴν ὡραιότητα

**Σ**ήμερον ἅπασα κτίσις ἀγάλλεται, ὅτι τὸ χαῖρε σοι φωνεῖ Ἀρχάγγελος, εὐλογημένη σὺ Σεμνή, καὶ Ἄχραντε πανάμωμε, Σήμερον τοῦ ὄφεως, ἀμαυροῦται τὸ φρύαγμα, ἀρᾶς γὰρ διαλέλυται, τοῦ Προπάτορος σύνδεσμος, Διὸ καὶ κατὰ πάντα βοῶμέν σοι, Χαῖρε ἡ Κεχαριτωμένη.

### ὁ β’ χορός
### Δόξα Πατρί... Καὶ νῦν...

**Σ**ήμερον ἅπασα κτίσις...

## Μετὰ δὲ τὸν Πολυέλεον
### ὁ α’ χορός
### Ἦχος δ’. Κατεπλάγη Ἰωσὴφ

**Γ**αβριὴλ ἐξ οὐρανοῦ, τὸ Χαῖρε κράζει τῇ σεμνῇ, ὅτι συλλήψῃ ἐν γαστρί, τὸν προαιώνιον Θεόν, τὸν διὰ λόγου τὰ πέρατα συστησάμενον, ὅθεν Μαριὰμ ἀπεφθέγγετο, Ἄνανδρός εἰμι, καὶ πῶς τέξω Υἱόν; ἄσπορον γονὴν τὶς ἑώρακε; καὶ ἑρμηνεύων ἔλεγεν ὁ Ἄγγελος, τῇ Θεοτόκῳ καὶ Παρθένῳ, Ἐλεύσεταί σοι, Ἅγιον Πνεῦμα, καὶ δύναμις Ὑψίστου ἐπισκιάσει σοι.

### ὁ β’ χορός
### Δόξα Πατρὶ...

**Γ**αβριὴλ ἐξ οὐρανοῦ...

### ὁ α’ χορός
### Καὶ νῦν... ὅμοιον

**Ἀ**πεστάλη Γαβριήλ, πρὸς τὴν Παρθένον καὶ ἁγνήν, καὶ ἐμήνυσεν αὐτή, τὴν ἀνεκλάλητον χαράν, ὅτι ἀσπόρως συλλήψῃ καὶ οὐ φθαρήσῃ, τέξῃ γὰρ Υἱόν, τὸν πρὸ αἰώνων Θεόν, ὃς σώσει τὸν λαόν, ἐκ τῶν πταισμάτων αὐτῶν, καὶ μαρτυρεῖ ὁ πέμψας με εἰπεῖν σοι, Εὐλογημένη τὸ Χαῖρε, Παρθένος τίκτεις, καὶ μετὰ τόκον...

### ὁ β’ χορός

... **π**άλιν μένεις Παρθένος.

## Τὸ α' Ἀντίφωνον τοῦ δ' Ἤχου.

**ὁ α’ χορός**

**Ἐ**κ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.

**ὁ β’ χορός**

**Ἐ**κ νεότητός μου πολλὰ πολεμεῖ με πάθη, ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον Σωτήρ μου.

**ὁ α’ χορός**

**Ο**ἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου, ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι.

**ὁ β’ χορός**

**Ο**ἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου, ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι.

**ὁ α’ χορός**

**Δόξα Πατρί...**

**Ἁ**γίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει ὑψοῦται λαμπρύνεται, τῇ τριαδικῇ Μονάδι ἱεροκρυφίως.

**ὁ β’ χορός**

**Καὶ νῦν...**

**Ἁ**γίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν πρὸς ζωογονίαν.

## Προκείμενον  Ἦχος δ'

**ὁ α' χορός**

**Ε**ὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

**ὁ β' χορός**

**Ε**ὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

**ὁ α' χορός**

**Στίχ. Ἄι**σατε τῷ Κυρίῳ ᾆσμα καινόν.

**Ε**ὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον **τοῦ Θεοῦ ἡμῶν.**

## Τάξις Εὐαγγελίου τοῦ Ὄρθρου

**ὁ Διάκονος: Τ**οῦ Κυρίου δεηθῶμεν.

**ὁ α΄ χορὸς**

**Κ**ύριε ἐλέησον

**ὁ Ἱερεὺς: Ὅ**τι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν ἁγίοις ἐπαναπαύῃ,...

**ὁ α΄ χορὸς**

**Ἦχος β'**

**Ἀ**μήν. **Π**ᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

**ὁ β' χορὸς**

**Π**ᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

**ὁ α΄ χορὸς**

**Α**ἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

**ὁ Διάκονος: Κ**αὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς...

**ὁ α' χορὸς**

**Κ**ύριε, ἐλέησον (γ').

**ὁ Διάκονος: Σ**οφία. **Ὀ**ρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

**ὁ Ἱερεὺς: Ε**ἰρήνη πᾶσι.

**ὁ β' Χορὸς**

**Κ**αὶ τῷ Πνεύματί σου.

**ὁ Ἱερεὺς: Ἐ**κ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

**ὁ Διάκονος: Π**ρόσχωμεν.

**ὁ α΄ χορὸς**

**Δ**όξα Σοι Κύριε, δόξα Σοι.

**ὁ Ἱερεὺς: Ἐ**ν ταῖς ἡμέραις ἐκείναις ἀναστᾶσα  Μαριὰμ, …

**ὁ α΄ χορὸς**

**Δ**όξα Σοι Κύριε, δόξα Σοι.

**Ὁ Ν' ψαλμὸς (χῦμα)**

**ὁ α΄ χορὸς**

**Δόξα Πατρὶ... Ἦχος β'**

**Τ**αῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

**ὁ β΄ χορὸς**

**Καὶ νῦν...**

**Τ**αῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη, τῶν ἐμῶν ἐγκλημάτων.

**ὁ α' χορὸς**

**Πεντηκοστάριον. Ἦχος β'**

**Στίχ. Ἐ**λέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

## Στιχηρὸν Ἰδιόμελον Κοσμᾶ Μοναχοῦ

**Ε**ὐαγγελίζεται ὁ Γαβριὴλ τῇ κεχαριτωμένῃ σήμερον, Χαῖρε ἀνύμφευτε Κόρη καὶ ἀπειρόγαμε, μὴ καταπλαγῇς τῇ ξένῃ μου μορφῇ, μηδὲ δειλιάσῃς, Ἀρχάγγελός εἰμι, ὄφις ἐξηπάτησεν Εὔαν ποτέ, νῦν εὐαγγελίζομαί σοι τὴν χαράν, καὶ μενεῖς ἄφθορος, καὶ τέξῃ **τὸν Κύριον Ἄχραντε.**

***Σῶσον ὁ Θεὸς τὸν λαὸν σου...Ἐλέει καὶ οἰκτιρμοῖς...***

Εἶθ' οὕτως ὁ

**Κανὼν τῆς Ἑορτῆς**

**οὗ ἡ ἀκροστιχίς, κατὰ Ἀλφάβητον.**

**Ποίημα Ἰωάννου Μοναχοῦ**

**ὁ α' χορός**

**ᾠδὴ α'  .Ἦχος δ' . Ὁ Εἱρμὸς**

**Ἀ**νοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τήν Σύλληψιν.

**ὁ β' χορός**

**Ἀ**νοίξω τὸ στόμα μου...

**ὁ α' χορός**

**Στίχ.Ὑ**περαγία Θεοτόκε σῶσον ἡμᾶς

**Ἀ**δέτω σοι Δέσποινα, κινῶν τὴν λύραν τοῦ Πνεύματος, Δαυῒδ ὁ Προπάτωρ σου, Ἄκουσον θύγατερ, τὴν χαρμόσυνον, φωνὴν τὴν τοῦ Ἀγγέλου, χαρὰν γὰρ μηνύει σοι, τὴν ἀνεκλάλητον.

**ὁ β’ χορός**

**Στίχ.Ὑ**περαγία Θεοτόκε σῶσον ἡμᾶς

**Ὁ Ἄγγελος**

**Β**οῶ σοι γηθόμενος, κλῖνον τὸ οὖς σου καὶ πρόσχες μοι, Θεοῦ καταγγέλλοντι, σύλληψιν ἄσπορον, εὗρες χάριν γάρ, ἐνώπιον Κυρίου, ἣν εὗρεν οὐδέποτε, ἄλλη τις Πάναγνε.

**ὁ α’ χορός**

**Δόξα Πατρὶ... Ἡ Θεοτόκος**

**Γ**νωσθήτω μοι Ἄγγελε, τῶν σῶν ῥημάτων ἡ δύναμις, πῶς ἔσται ὃ εἴρηκας; λέγει σαφέστατα, πῶς συλλήψομαι, Παρθένος οὖσα Κόρη; πῶς δὲ καὶ γενήσομαι, Μήτηρ τοῦ Κτίστου μου;

**ὁ β’ χορός**

**Καὶ νῦν... Ὁ Ἄγγελος**

**Δ**ολίως με φθέγγεσθαι, διαλογίζῃ ὡς ἔοικε, καὶ χαίρω θεώμενος, τὴν σὴν ἀσφάλειαν, θάρσει Δέσποινα, Θεοῦ γὰρ βουλομένου, ῥαδίως περαίνεται, καὶ τὰ παράδοξα.

**ὁ α’ χορός**

**ᾠδὴ γ’ Ὁ Εἱρμὸς**

**Τ**οὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθορος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον, κἂν τῇ σεπτῇ Συλλήψει σου, στεφάνων δόξης ἀξίωσον.

**ὁ β’ χορός**

**Τ**οὺς σοὺς ὑμνολόγους Θεοτόκε...

**ὁ α’ χορός**

**Στίχ.Ὑ**περαγία Θεοτόκε σῶσον ἡμᾶς

**Ἡ Θεοτόκος**

**Ἐ**ξέλιπεν Ἄρχων ἐξ Ἰούδα, ὁ χρόνος ἐφέστηκε λοιπόν, καθ' ὃν ἀναφανήσεται, ἡ τῶν ἐθνῶν ἐλπὶς ὁ Χριστός, σὺ δὲ πῶς τοῦτον τέξομαι, Παρθένος οὖσα, σαφήνισον.

**ὁ β’ χορός**

**Στίχ.Ὑ**περαγία Θεοτόκε σῶσον ἡμᾶς.

**Ὁ Ἄγγελος**

**Ζ**ητεῖς παρ' ἐμοῦ γνῶναι Παρθένε, τὸν τρόπον συλλήψεως τῆς σῆς, ἀλλ' οὗτος ἀνερμήνευτος, τὸ Πνεῦμα δὲ τὸ Ἅγιον, δημιουργῷ δυνάμει σοι, ἐπισκιάσαν ἐργάσεται.

**ὁ α’ χορός**

**Δόξα Πατρί... Ἡ Θεοτόκος**

**Ἡ** ἐμὴ Προμήτωρ δεξαμένη, τὴν γνώμην τοῦ ὄφεως Τρυφῆς, τῆς θείας ἐξωστράκισται, διὸ περ κἀγὼ δέδοικα, τὸν ἀσπασμὸν τὸν ξένον σου, εὐλαβουμένη τὸν ὄλισθον.

**ὁ β’ χορός**

**Καὶ νῦν... Ὁ Ἄγγελος**

**Θ**εοῦ παραστάτης ἀπεστάλην, τὴν θείαν μηνύσων σοι βουλήν, τὶ με φοβῇ Πανάμωμε, τὸν μᾶλλόν σε φοβούμενον, τὶ εὐλαβῇ με Δέσποινα, τὸν σὲ σεπτῶς **εὐλαβούμενον;**

**Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις**, ***Ὅτι σὺ εἶ ὁ Θεὸς ἡμῶν...***

**Κάθισμα**

**ὁ β΄ χορός**

**Ἦχος πλ. δ΄. Αὐλῶν ποιμενικῶν**

**Ὁ** Λόγος τοῦ Θεοῦ, ἐπὶ γῆς νῦν κατῆλθεν, ὁ Ἄγγελος βοῶν, τῇ Παρθένῳ ἐπέστη, Χαῖρε Εὐλογημένη, ἡ τὴν σφραγῖδα μόνη φυλάξασα, ἐν μήτρᾳ δεξαμένη, τὸν πρὸ αἰώνων Λόγον καὶ Κύριον, ἵνα ἐκ πλάνης σώσῃ ὡς Θεός, τὸ γένος τῶν ἀνθρώπων.

**ὁ α΄ χορός**

**Δόξα Πατρὶ... Καὶ νῦν...**

**Ὁ** Λόγος τοῦ Θεοῦ...

**ᾠδὴ δ'**

**ὁ β΄ χορός**

**Ὁ Εἱρμὸς**

**Ὁ** καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου θεότητος, ἐν νεφέλῃ κούφῃ, ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκηράτῳ παλάμῃ καὶ διέσωσε, τοὺς κραυγάζοντας΄ Δόξα Χριστὲ τῇ δυνάμει σου.

**ὁ α΄ χορός**

**Ὁ** καθήμενος ἐν δόξῃ...

**ὁ β΄ χορός**

**Στίχ.Ὑ**περαγία Θεοτόκε σῶσον ἡμᾶς .

Ἡ Θεοτόκος

**Ἱ**εράν τινα Παρθένον, τεξομένην ἀκήκοα, τοῦ Προφήτου πάλαι, τὸν Ἐμμανουὴλ προθεσπίσαντος, ἐπιποθῶ δε τοῦ γνῶναι, πῶς θεότητος, τὴν ἀνάκρασιν, φύσις βροτῶν ὑποστήσεται;

**ὁ α΄ χορός**

**Στίχ.Ὑ**περαγία Θεοτόκε σῶσον ἡμᾶς

**Ὁ Ἄγγελος**

**Κ**ατεμήνυσεν ἡ βάτος, ἀκατάφλεκτος μείνασα, δεξαμένη φλόγα, Κεχαριτωμένη ἀνύμφευτε, τοῦ κατὰ σὲ Μυστηρίου τὸ ἀπόῤῥητον, μετὰ τόκον γάρ, μενεῖς Ἁγνή, ἀειπάρθενος.

**ὁ β΄ χορός**

**Δόξα Πατρί... Ἡ Θεοτόκος**

**Λ**αμπρυνόμενος τῷ φέγγει, τοῦ Θεοῦ παντοκράτορος, ἀληθείας κῆρυξ, λέγε, Γαβριήλ, ἀληθέστατα, πῶς, ἀκηράτου μενούσης τῆς ἁγνείας μου; Λόγον τέξομαι, μετὰ σαρκὸς τὸν ἀσώματον.

**ὁ α΄ χορός**

**Καὶ νῦν...**

**Ὁ Ἄγγελος**

**Μ**ετὰ δέους σοι ὡς δοῦλος, τῇ Κυρίᾳ παρίσταμαι, μετὰ φόβου Κόρη, νῦν κατανοεῖν εὐλαβοῦμαί σε, ὡς ὑετὸς ἐπὶ πόκον καταβήσεται, ἐπὶ σὲ Λόγος...

**ὁ β΄ χορός**

...**ὁ** τοῦ Πατρός ὡς ηὐδόκησε.

**ᾠδὴ ε'**

**ὁ α΄ χορός**

**Ὁ Εἱρμὸς**

**Ἐ**ξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

**ὁ β΄ χορός**

**Ἐ**ξέστη τὰ σύμπαντα...

**ὁ α΄ χορός**

**Στίχ.Ὑ**περαγία Θεοτόκε σῶσον ἡμᾶς.

Ἡ Θεοτόκος

**Ν**οεῖν σου οὐ δύναμαι, τῶν λόγων τὴν ἀκρίβειαν, θαύματα γὰρ γέγονε πολλάκις, θείᾳ δυνάμει τερατουργούμενα, σύμβολα καὶ τύποι νομικοί, τέτοκε Παρθένος δέ, ἀπειράνδρως οὐδέποτε.

**ὁ β' χορός**

**Στίχ.Ὑ**περαγία Θεοτόκε σῶσον ἡμᾶς.

**Ὁ Ἄγγελος**

Ξενίζῃ Πανάμωμε, καὶ ξένον γὰρ τὸ θαῦμά σου, μόνη γὰρ τὸν πάντων Βασιλέα, δέξῃ ἐν μήτρᾳ σαρκωθησόμενον, καὶ σὲ προτυποῦσι Προφητῶν, ῥήσεις καὶ αἰνίγματα, καὶ τοῦ Νόμου τὰ σύμβολα.

**ὁ α' χορός**

**Δόξα Πατρί...** Ἡ Θεοτόκος

**Ὁ** πᾶσιν ἀχώρητος, καὶ πᾶσιν ἀθεώρητος, πῶς οὗτος δυνήσεται Παρθένου, μήτραν οἰκῆσαι, ἣν αὐτὸς ἔπλασε; πῶς δὲ καὶ συλλήψομαι Θεόν, Λόγον τὸν συνάναρχον, τῷ Πατρὶ καὶ τῶ Πνεύματι;

**ὁ β' χορός**

**Καὶ νῦν...** Ὁ Ἄγγελος

**Π**ρὸς τὸν σὸν Προπάτορα, Δαυῒδ ἐπαγγειλάμενος, θήσειν ἐκ καρποῦ τοῦ τῆς κοιλίας, ἐπὶ τὸν θρόνον τῆς Βασιλείας αὐτοῦ, τὴν τοῦ Ἰακὼβ σὲ καλλονήν, μόνην ἐξελέξατο...

**ὁ α' χορός**

...**λ**ογικὸν ἐνδιαίτημα.

**ᾠδὴ ς'**

**Ὁ Εἱρμὸς**

**ὁ β' χορός**

**Ἐ**βόησε, προτυπῶν τὴν ταφὴν τὴν τριήμερον, ὁ Προφήτης Ἰωνᾶς ἐν τῷ κήτει δεόμενος΄ Ἐκ φθορᾶς με ῥῦσαι, Ἰησοῦ Βασιλεῦ τῶν δυνάμεων.

**ὁ α' χορός**

**Ἐ**βόησε, προτυπῶν...

**ὁ β' χορός**

**Στίχ.Ὑ**περαγία Θεοτόκε σῶσον ἡμᾶς.

**Ἡ Θεοτόκος**

**Ῥ**ημάτων σου, τὴν φωνὴν Γαβριήλ, τὴν χαρμόσυνον, δεξαμένη, εὐφροσύνης ἐνθέου πεπλήρωμαι, χαρὰν γὰρ μηνύεις, καὶ χαρὰν καταγγέλλεις τὴν ἄληκτον.

**ὁ α' χορός**

**Στίχ.Ὑ**περαγία Θεοτόκε σῶσον ἡμᾶς

**Ὁ Ἄγγελος**

**Σ**οὶ δέδοται, ἡ χαρὰ Θεομῆτορ ἡ ἔνθεος, σοὶ τὸ Χαῖρε, πᾶσα κτίσις κραυγάζει Θεόνυμφε, σὺ γὰρ μόνη Μήτηρ, τοῦ Υἱοῦ τοῦ Θεοῦ προωρίσθης Ἁγνή.

**ὁ β' χορός**

**Δόξα Πατρί...**

**Ἡ Θεοτόκος**

**Τ**ῆς Εὔας νῦν, δι ἐμοῦ καταργείσθω κατάκριμα, ἀποδότω, δι' ἐμοῦ τὸ ὀφείλημα σήμερον, δι' ἐμοῦ τὸ χρέος, τὸ ἀρχαῖον δοθήτω πληρέστατον.

**ὁ α' χορός**

**Καὶ νῦν...**

**Ὁ Ἄγγελος**

**Ὑ**πέσχετο, ὁ Θεός, Ἀβραὰμ τῷ προπάτορι, εὐλογεῖσθαι, ἐν τῷ σπέρματι τούτου τὰ Ἔθνη Ἁγνή, διὰ σοῦ δὲ πέρας, **ἡ ὑπόσχεσις δέχεται σήμερον.**

**Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις**

***Σὺ γὰρ εἶ ὁ Βασιλεύς...***

**Ψάλλεται τό Κοντάκιον· *«Τῇ ὑπερμάχῳ...»*. Ὁ Ἱερεύς πρό τῆς εἰκόνος τῆς Θεοτόκου φέρων ἐπιτραχήλιον καί φελώνιον ἀπαγγέλλει τόν Οἶκον· *«Ἄγγελος πρωτοστάτης...»*.**

**Κοντάκιον**

**Ἦχος πλ. δ'**

**Τ**ῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε, Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι, **Χαῖρε νύμφη ἀνύμφευτε.**

**Ὁ Οἶκος**

**Ἄ**γγελος πρωτοστάτης, οὐρανόθεν ἐπέμφθη, εἰπεῖν τῇ Θεοτόκῳ τὸ Χαῖρε καὶ σὺν τῇ ἀσωμάτῳ φωνῇ, σωματούμενόν σε θεωρῶν Κύριε, ἐξίστατο καὶ ἵστατο, κραυγάζων πρὸς αὐτὴν τοιαῦτα.

- · Χαῖρε, δι' ἧς ἡ χαρὰ ἐκλάμψει, χαῖρε, δι' ἧς ἡ ἀρὰ ἐκλείψει.
- · Χαῖρε, τοῦ πεσόντος , Ἀδὰμ ἡ ἀνάκλησις, χαῖρε τῶν δακρύων τῆς Εὔας ἡ λύτρωσις.
- · Χαῖρε, ὕψος δυσανάβατον ἀνθρωπίνοις λογισμοῖς, χαῖρε, βάθος δυσθεώρητον καὶ Ἀγγέλων ὀφθαλμοῖς.
- · Χαῖρε, ὅτι ὑπάρχεις Βασιλέως καθέδρα, χαῖρε, ὅτι βαστάζεις τὸν βαστάζοντα πάντα.
- · Χαῖρε, ἀστὴρ ἐμφαίνων τὸν Ἥλιον, χαῖρε, γαστὴρ ἐνθέου σαρκώσεως.
- · Χαῖρε, δι' ἧς νεουργεῖται ἡ κτίσις, χαῖρε, δι' ἧς βρεφουργεῖται Κτίστης.
- **· Χαῖρε, Νύμφη ἀνύμφευτε.**

**Συναξάριον**

**Τῇ ΚΕ' τοῦ αὐτοῦ μηνός**, ὁ Εὐαγγελισμὸς τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ Ἀειπαρθένου Μαρίας.

**Στίχοι**

- · Ἤγγειλεν Υἱὸν Ἄγγελος τῇ Παρθένῳ,
- · Πατρὸς μεγίστης Βουλῆς μέγαν.
- · Γήθεο τῇ Μαρίῃ ἔφατ' Ἄγγελος εἰκάδι πέμπτη.

**Α**ὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. **Ἀ**μήν.

**ΚΑΤΑΒΑΣΙΑΙ**

**ὁ α' χορός**

**Ἦχος δ'**

**ᾠδὴ α'**

**Ἀ**νοίξω τὸ στόμα μου καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι, τῇ Βασιλίδι Μητρί, καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τήν Σύλληψιν.

**ὁ β' χορός**

**ᾠδὴ γ'**

**Τ**οὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καὶ ἄφθορος πηγή, θίασον συγκροτήσαντας πνευματικὸν στερέωσον, κἂν τῇ σεπτῇ Συλλήψει σου...

**ὁ α' χορός**

... **σ**τεφάνων δόξης ἀξίωσον.

**ὁ β' χορός**

**ᾠδὴ δ'**

**Ὁ** καθήμενος ἐν δόξῃ, ἐπὶ θρόνου θεότητος, ἐν νεφέλῃ κούφῃ, ἦλθεν Ἰησοῦς ὁ ὑπέρθεος, τῇ ἀκηράτῳ παλάμῃ καὶ διέσωσε, τοὺς κραυγάζοντας΄ Δόξα Χριστὲ τῇ δυνάμει σου.

**ὁ α' χορός**

**ᾠδὴ ε'**

**Ἐ**ξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου, σὺ γὰρ ἀπειρόγαμε Παρθένε, ἔσχες ἐν μήτρᾳ τὸν ἐπὶ πάντων Θεόν, καὶ τέτοκας ἄχρονον Υἱόν, πᾶσι τοῖς ὑμνοῦσί σε, σωτηρίαν βραβεύοντα.

**ὁ β' χορός**

**ᾠδὴ ς'**

**Ἐ**βόησε, προτυπῶν τὴν ταφὴν τὴν τριήμερον, ὁ Προφήτης, Ἰωνᾶς ἐν τῷ κήτει δεόμενος΄ Ἐκ φθορᾶς με ῥῦσαι, Ἰησοῦ Βασιλεῦ τῶν δυνάμεων.

**ὁ α' χορός**

**ᾠδὴ ζ'**

**Ο**ὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα, ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, χαίροντες ἔψαλλον, Ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

**ὁ β' χορός**

**ᾠδὴ η'**

**Στίχ. Α**ἰνοῦμεν, εὐλογοῦμεν, προσκυνοῦμεν τὸν Κύριον.

**Ἄ**κουε Κόρη Παρθένε ἁγνή, εἰπάτω δὴ ὁ Γαβριήλ, Βουλὴν Ὑψίστου ἀρχαίαν ἀληθινήν, Γενοῦ πρὸς ὑποδοχὴν ἑτοίμη Θεοῦ, διὰ σοῦ γὰρ ὁ ἀχώρητος, βροτοῖς ἀναστραφήσεται, διὸ καὶ χαίρων βοῶ΄ Εὐλογεῖτε, πάντα τὰ ἔργα Κυρίου **τὸν Κύριον.**

***Τὴν Θεοτόκον καὶ μητέρα τοῦ φωτὸς...***

Ἡ Τιμιωτέρα οὐ στιχολογεῖται

**ᾠδὴ θ'**

**Μ ε γ α λ υ ν ά ρ ι ο ν**

**ὁ α' χορός**

**Στίχ. Ε**ὐαγγελίζου γῆ χαρὰν μεγάλην, αἰνεῖτε οὐρανοὶ Θεοῦ τὴν δόξαν.

**Ὁ Εἱρμὸς**

**Ὡ**ς ἐμψύχῳ Θεοῦ κιβωτῷ, ψαυέτω μηδαμῶς χεὶρ ἀμυήτων, Χείλη δὲ πιστῶν τῇ Θεοτόκω ἀσιγήτως, Φωνὴν τοῦ Ἀγγέλου ἀναμέλποντα, ἐν ἀγαλλιάσει βοάτω, Χαῖρε Κεχαριτωμένη ὁ Κύριος μετά σοῦ.

**ὁ β' χορός**

**Στίχ. Ε**ὐαγγελίζου γῆ χαρὰν μεγάλην, αἰνεῖτε οὐρανοὶ Θεοῦ τὴν δόξαν.

**Ὑ**πὲρ ἔννοιαν συλλαβοῦσα Θεόν, τῆς φύσεως θεσμοὺς ἔλαθες Κόρη, Σὺ γὰρ ἐν τῷ τίκτειν τὰ μητέρων διέδρας, **Ῥ**ευστὴ φύσις περ καθεστηκυῖα, ὅθεν ἐπαξίως ἀκούεις, Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

**ὁ α' χορός**

**Στίχ. Ε**ὐαγγελίζου γῆ χαρὰν μεγάλην, αἰνεῖτε οὐρανοὶ Θεοῦ τὴν δόξαν.

**Π**ῶς πηγάζεις γάλα Παρθένε ἁγνὴ; Οὐ φέρει ἐξειπεῖν γλῶσσα βροτεία, Ξένον γὰρ φύσεως ἐπιδείκνυσαι πρᾶγμα, Νομίμου γονῆς ὅρους ὑπερβαῖνον, ὅθεν ἐπαξίως ἀκούεις, Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

**ὁ β' χορός**

**Στίχ. Ε**ὐαγγελίζου γῆ χαρὰν μεγάλην, αἰνεῖτε οὐρανοὶ Θεοῦ τὴν δόξαν.

**Μ**υστικῶς ταῖς ἱεροτεύκτοις Γραφαῖς, Λαλεῖται περὶ σοῦ, Μῆτερ Ὑψίστου, Κλίμακα γὰρ πάλαι Ἰακὼβ σὲ προτυποῦσαν, Ἰδών ἔφη, Βάσις Θεοῦ αὕτη, ὅθεν ἐπαξίως ἀκούεις, Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

**ὁ α' χορός**

**Δόξα Πατρί...**

**Στίχ. Ε**ὐαγγελίζου γῆ χαρὰν μεγάλην, αἰνεῖτε οὐρανοὶ Θεοῦ τὴν δόξαν.

**Θ**αυμαστὸν τῷ Ἱεροφάντῃ Μωσεῖ΄ Ἡ βάτος καὶ τὸ πῦρ ἔδειξε τέρας, Ζητῶν δὲ τὸ πέρας εἰς διάβασιν χρόνου, Ἐν Κόρῃ ἁγνῇ, ἔφη, κατοπτεύσω, ᾗ ὡς Θεοτόκῳ λεχθείη, Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

**ὁ β' χορός**

**Καὶ νῦν...**

**Στίχ. Ε**ὐαγγελίζου γῆ χαρὰν μεγάλην, αἰνεῖτε οὐρανοὶ Θεοῦ τὴν δόξαν.

**Δ**ανιὴλ σε ὄρος καλεῖ νοητόν, Γεννήτριαν Θεοῦ ὁ Ἡσαΐας, Βλέπει δὲ ὡς πόκον Γεδεών, ὁ Δαυΐδ δέ, Ἁγίασμα φάσκει, πύλην δὲ σε ἄλλος, ὁ δὲ Γαβριὴλ σοι κραυγάζει, Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

**ὁ α' χορός**

**Καταβασία**

**Στίχ. Ε**ὐαγγελίζου γῆ χαρὰν μεγάλην, αἰνεῖτε οὐρανοὶ Θεοῦ τὴν δόξαν.

**Ὡ**ς ἐμψύχῳ Θεοῦ κιβωτῷ, ψαυέτω μηδαμῶς χεὶρ ἀμυήτων, Χείλη δὲ πιστῶν τῇ Θεοτόκῳ ἀσιγήτως, Φωνὴν τοῦ Ἀγγέλου ἀναμέλποντα, ἐν ἀγαλλιάσει βοάτω, Χαῖρε Κεχαριτωμένη **ὁ Κύριος μετὰ σοῦ.**

**Συναπτὴ μικρά καὶ ἡ Ἐκφώνησις**

***Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ δυνάμεις...***

**ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΑ**

**ὁ α' χορός**

**Ἦχος β'.Τοῖς Μαθηταῖς συνέλθωμεν**

**Ἀ**γγελικῶν δυνάμεων, Στρατηγὸς ἀπεστάλη, ἐκ Θεοῦ Παντοκράτορος, πρὸς Ἁγνὴν καὶ Παρθένον, εὐαγγελίσασθαι ξένον, καὶ ἀπόῤῥητον θαῦμα, ὅτι Θεὸς ὡς ἄνθρωπος, ἐξ αὐτῆς βρεφουργεῖται, ἄνευ σπορᾶς, ἀναπλάττων βρότειον ἅπαν γένος, Λαοὶ εὐαγγελίζεσθε, τὴν ἀνάπλασιν κόσμου.

**ὁ β' χορός**

**Ὅμοιον**

**Χ**αῖρε κατάρας λύτρωσις, τοῦ Ἀδὰμ Θεοτόκε, χαῖρε σεμνὴ Μητρόθεε, χαῖρε ἔμψυχε βάτε, χαῖρε λαμπάς, χαῖρε θρόνε, χαῖρε κλῖμαξ καὶ πύλη, χαῖρε τὸ θεῖον ὄχημα, χαῖρε κούφη νεφέλη, χαῖρε ναέ, χαῖρε στάμνε πάγχρυσε, χαῖρε ὄρος, χαῖρε σκηνὴ καὶ τράπεζα, **χαῖρε Εὔας ἡ λύσις.**

**ΑΙΝΟΙ**

**ἱστῶμεν Στίχους δ' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια.**

**ὁ α' χορός**

**Ἦχος α'**

**Π**ᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

**ὁ β' χορός**

**Α**ἰνεῖτε αὐτόν, πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτόν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

**ὁ α' χορός**

**Στίχ. Α**ἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ, αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

**Τῶν οὐρανίων ταγμάτων**

**Τ**ῶν οὐρανίων ἁψίδων, ὁ Γαβριὴλ καταπτάς, είς Ναζαρὲτ ἐπέστη, πρὸς Παρθένον Μαρίαν, βοῶν αὐτῇ τὸ Χαῖρε, συλλήψῃ Υἱόν, τοῦ Ἀδὰμ ἀρχαιότερον, τὸν ποιητὴν τῶν ἁπάντων καὶ λυτρωτήν, τῶν βοώντων σοι, τὸ Χαῖρε Ἁγνή.

**ὁ β' χορός**

**Στίχ. Α**ἰνεῖτε αὐτὸν ἐν ἤχῳ, σάλπιγγος, αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

**Τ**ῶν οὐρανίων ἁψίδων...

**ὁ α' χορός**

**Στίχ. Α**ἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ, αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

**Ὁ** Γαβριὴλ τῇ Παρθένῳ, τὸ Εὐαγγέλιον, ἐξ οὐρανοῦ κομίσας, ἀνεβόα τὸ Χαῖρε´ συλλήψῃ ἐν γαστρί σου τὸν σοὶ χωρητόν, καὶ τῷ κόσμῳ ἀχώρητον, καὶ κυοφόρος ὀφθήσῃ τοῦ ἐκ Πατρός, πρὸ ἑωσφόρου ἀνατείλαντος.

**ὁ β' χορός**

**Στίχ. Α**ἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις, αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

**Ὁ** συναΐδιος Λόγος, τοῦ προανάρχου Πατρός, μὴ χωρισθεὶς τῶν ἄνω, νῦν ἐπέστη τοῖς κάτω, δι' ἄκραν εὐσπλαγχνίαν οἶκτον λαβών, τοῦ καθ' ἡμᾶς ὀλισθήματος, καὶ τοῦ Ἀδὰμ τὴν πτωχείαν ἀναλαβών, ἐμορφώθη τὸ ἀλλότριον.

**Ἦχος β'**

**ὁ α' χορός**

**Δόξα Πατρί...**

**ὁ β' χορός**

**Καὶ νῦν...**

**ὁ α' χορός**

**Θεοφάνους**

**Τ**ὸ ἀπ' αἰῶνος μυστήριον, ἀνακαλύπτεται σήμερον, καὶ ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς ἀνθρώπου γίνεται, ἵνα τοῦ χείρονος μεταλαβών, μεταδῷ μοι τοῦ βελτίονος΄ ἐψεύσθη πάλαι Ἀδάμ, καὶ Θεὸς ἐπιθυμήσας οὐ γέγονεν΄ ἄνθρωπος γίνεται Θεός, ἵνα Θεὸν τὸν Ἀδὰμ ἀπεργάσηται. Εὐφραινέσθω ἡ κτίσις, χορευέτω, ἡ φύσις, ὅτι Ἀρχάγγελος Παρθένῳ, μετὰ δέους παρίσταται, καὶ τὸ χαῖρε κομίζει, τῆς λύπης ἀντίθετον. Ὁ διὰ σπλάγχνα ἐλέους ἐνανθρωπήσας...

**ὁ β' χορός**

...Θεὸς ἡμῶν **δόξα σοι.**

## Δοξολογία Μεγάλη

**εἰς ἦχον β' ( Ἀργὴ ἢ σύντομος )**

**ὁ α' χορός**

- **Δ**όξα σοι τῷ δείξαντι τὸ φῶς. Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.

**ὁ β' χορός**

- **Ὑ**μνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.

**ὁ α' χορός**

- **Κ**ύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα.

**ὁ β' χορός**

- **Κ**ύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.

**ὁ α' χορός**

- **Π**ρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.

**ὁ β' χορός**

- **Ὅ**τι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.

**ὁ α' χορός**

- **Κ**αθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

**ὁ β' χορός**

- **Κ**αταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.

**ὁ α' χορός**

- **Ε**ὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.

**ὁ β' χορός**

- **Γ**ένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.

**ὁ α' χορός**

- **Ε**ὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

**ὁ β' χορός**

- **Ε**ὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

**ὁ α' χορός**

- **Ε**ὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

**ὁ β' χορός**

- **Κ**ύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ. Ἐγὼ εἶπα΄ Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.

**ὁ α' χορός**

- **Κ**ύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.

**ὁ β' χορός**

- **Ὅ**τι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.

**ὁ α' χορός**

- **Π**αράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.

**Ἅ**γιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

**ὁ β' χορός**

**Ἅ**γιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

**ὁ α' χορός**

**Ἅ**γιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

**ὁ β' χορός**

**Δ**όξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

**ὁ α' χορός**

**Κ**αὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

**ὁ β' χορός**

**Ἅ**γιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

**ὁ α' χορός**

**καὶ πάλιν γεγονωτέρᾳ τῇ φωνῇ**

**Ἅ**γιος ὁ Θεός,

**ὁ β' χορός**

**Ἅ**γιος Ἰσχυρός,

**ὁ α' χορός**

**Ἅ**γιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.

**καὶ εὐθύς**

**ὁ β' χορός**

**τὸ ἀπολυτίκιον τῆς Ἑορτῆς**

**Ἦχος δ'**

**Σ**ήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον, καὶ τοῦ ἀπ' αἰῶνος Μυστηρίου ἡ φανέρωσις, ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται, Διὸ σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν, Χαῖρε Κεχαριτωμένη, **ὁ Κύριος μετὰ σοῦ.**

## ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

## ΑΝΤΙΦΩΝΑ

### Ἀντίφωνον Α'

**ὁ α' χορὸς**

**Στίχος α'. Ὁ** Θεὸς τὸ κρίμα σου τῷ Βασιλεῖ δός, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς.

**ὁ β' χορὸς**

**Στίχος β'. Ἀ**ναλαβέτω τὰ ὄρη εἰρήνην τῷ λαῷ, καὶ οἱ βουνοὶ δικαιοσύνην.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

**ὁ α' χορὸς**

**Στίχος γ'. Ε**ὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας, τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

**ὁ β' χορὸς**

**Στίχος δ'. Ὤ**μοσε Κύριος τῷ Δαυῒδ ἀλήθειαν καὶ οὐ μὴ ἀθετήσει αὐτήν.

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

**ὁ α' χορὸς**

**Δόξα Πατρὶ...**

**ὁ β' χορὸς**

**Καὶ νῦν...**

**Τ**αῖς πρεσβείαις τῆς Θεοτόκου...

### Ἀντίφωνον Β'

**ὁ β' χορὸς**

**Στίχος α'. Κ**αταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγὼν ἡ στάζουσα ἐπὶ τὴν γῆν.

**Σ**ῷσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι' ἡμᾶς σαρκωθείς, ψάλλοντάς Σοι,ἀλληλούϊα.

**ὁ α' χορός**

**Στίχος β'. Ἡ**γίασε τὸ σκήνωμα αὐτοῦ ὁ Ὕψιστος.

**Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ δι' ἡμᾶς σαρκωθείς,...

**ὁ β’ χορὸς**

**Στίχος γ’. Ὁ** Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν καὶ οὐ παρασιωπήσεται.
Σῶσον ἡμᾶς Υἱὲ Θεοῦ, ὁ δι' ἡμᾶς σαρκωθείς,...

**ὁ α’ χορός**

**Στίχος δ’. Ἀ**νατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης.
**Σ**ῶσον ἡμᾶς Υἱὲ Θεοῦ ὁ δι' ἡμᾶς σαρκωθείς,...

**ὁ β’ χορός**
**Δόξα Πατρὶ...**

**ὁ α’ χορός**
**Καὶ νῦν...**

**ὁ β’ χορός**
**Ὁ** μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων, καὶ καταδεξάμενος, διὰ τὴν ἡμετέραν σωτηρίαν, σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε, Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, Εἷς ὢν τῆς ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς.

**Ἀντίφωνον Γ'**
**ὁ α’ χορὸς**

**Στίχος α’. Ἔ**σται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας.
**Ἦχος δ'**
**Σ**ήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον, καὶ τοῦ ἀπ' αἰῶνος Μυστηρίου ἡ φανέρωσις, ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται,καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται, Διὸ σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν, Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

**ὁ β’ χορός**

**Στίχος β’. Ε**ὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραήλ, ὁ ποιῶν θαυμάσια μόνος.
**Σ**ήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον,...

**ὁ α’ χορὸς**

**Στίχος γ'. Ε**ὐλογημένον τὸ ὄνομα αὐτοῦ εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.
**Σ**ήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον,...

**Μικρὰ Εἴσοδος.**

**ὁ α’ χορός**
**Ἦχος β'**
( ψάλλεται ὑπὸ τῶν ἱερουργούντων μόνον ὅταν τελῆται συλλείτουργον)
**Ε ἰ σ ο δ ι κ ό ν**

**Ε**ὐαγγελίζεσθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ δι' ἡμᾶς σαρκωθείς...

**ὁ β’ χορός**

... **ψ**άλλοντάς Σοι, **ἀ**λληλούϊα.

**ὁ α’ χορός**

( ψάλλεται ὑπὸ τῶν ἱερουργούντων μόνον ὅταν τελῆται συλλείτουργον)

**Ἦχος δ'**

**Σ**ήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον, καὶ τοῦ ἀπ' αἰῶνος Μυστηρίου ἡ φανέρωσις, ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται, Διὸ σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν, Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.

**ὁ β’ χορός**

( ψάλλεται ὑπὸ τῶν ἱερουργούντων μόνον ὅταν τελῆται συλλείτουργον)

**Κοντάκιον**

**Ἦχος πλ. δ’**

**Τ**ῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε, Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον, ἵνα κράζω σοι, **Χαῖρε νύμφη ἀνύμφευτε.**

**Τρισάγιον**

**Ἀπόστολος**

**Προκείμενον τῆς ἡμέρας**

**Μ**εγαλύνει ἡ ψυχή μου τὸν Κύριον, καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.

**Στίχ.** **Ὅ**τι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ.

**Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα (Κεφ. Β΄. 11-18)**

**Ἀ**δελφοί, ὁ ἁγιάζων καὶ οἱ ἁγιαζόμενοι ἐξ ἑνὸς πάντες· δι΄ ἣν αἰτίαν οὐκ ἐπαισχύνεται ἀδελφοὺς αὐτοὺς καλεῖν, λέγων, Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε· καὶ πάλιν, Ἐγὼ ἔσομαι πεποιθὼς ἐπ΄ αὐτῷ· καὶ πάλιν, Ἰδοὺ ἐγὼ καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ Θεός. Ἐπεὶ οὖν τὰ παιδία κεκοινώνηκεν αἵματος καὶ σαρκός, καὶ αὐτὸς παραπλησίως μετέσχεν τῶν αὐτῶν, ἵνα διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανάτου, τοῦτ΄ ἔστιν τὸν διάβολον, καὶ ἀπαλλάξῃ τούτους, ὅσοι φόβῳ θανάτου διὰ παντὸς τοῦ ζῆν ἔνοχοι ἦσαν δουλείας. Οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβάνεται, ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβάνεται. Ὅθεν ὤφειλεν κατὰ πάντα τοῖς ἀδελφοῖς ὁμοιωθῆναι, ἵνα ἐλεήμων γένηται καὶ πιστὸς ἀρχιερεὺς τὰ πρὸς τὸν θεόν, είς τὸ ἱλάσκεσθαι τὰς ἁμαρτίας τοῦ λαοῦ· ἐν ᾧ γὰρ πέπονθεν αὐτὸς πειρασθείς, δύναται τοῖς **πειραζομένοις βοηθῆσαι.**

**Ἀλληλούϊα Ἦχος β΄**

**Εὐαγγέλιον**

**Ἐκ τοῦ κατὰ Λουκᾶν. (Κεφ. Α΄ 24-38)**

**Ἐ**ν ταῖς ἡμέραις ...

**ὁ α΄ χορὸς**

**Δ**όξα σοι Κύριε, δόξα σοι.

***Καὶ καθεξῆς ἡ Θεία Λειτουργία τοῦ Ἱεροῦ Χρυσοστόμου***

**Εἰς τό, Ἐξαιρέτως**

**ὁ α΄ χορός**

**ᾠδὴ θ΄**

**Ἦχος δ'**

**Στίχ.** **Ε**ὐαγγελίζου γῆ χαρὰν μεγάλην, αἰνεῖτε οὐρανοὶ Θεοῦ τὴν δόξαν.

**Ὡ**ς ἐμψύχῳ Θεοῦ κιβωτῷ, ψαυέτω μηδαμῶς χεὶρ ἀμυήτων, Χείλη δὲ πιστῶν τῇ Θεοτόκῳ ἀσιγήτως, Φωνὴν τοῦ Ἀγγέλου ἀναμέλποντα, ἐν ἀγαλλιάσει βοάτω, Χαῖρε Κεχαριτωμένη **ὁ Κύριος μετὰ σοῦ.**

**Κοινωνικὸν**

**ὁ β΄ χορός**

**Ἦχος α'**

**Ἐ**ξελέξατο Κύριος τὴν Σιών, ᾑρετίσατο αὐτὴν εἰς κατοικίαν ἑαυτῷ. **Ἀ**λληλούϊα.

**Ἀπόλυσις**

**«...Ὁ δι' ἡμᾶς τούς ἀνθρώπους καί διά τήν ἡμετέραν σωτηρίαν ἐκ Πνεύματος Ἁγίου καί Μαρίας τῆς Παρθένου σαρκωθῆναι καταδεξάμενος Χριστός ὁ ἀληθινός Θεός ἡμῶν...».**

## ΔΟΞΟΛΟΓΙΑ ΕΠΙ ΤΗι ΕΘΝΙΚΗι ΕΟΡΤΗι (25$^{η}$ Μαρτίου)

Ἱερεύς: (εὐλόγησον, Δέσποτα) Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.+ Χ.: Ἀμήν.

*Ἀπολυτίκιον Ἦχος δ'*

Σήμερον τῆς σωτηρίας ἡμῶν τὸ Κεφάλαιον, καὶ τοῦ ἀπ' αἰῶνος Μυστηρίου ἡ φανέρωσις, ὁ Υἱὸς τοῦ Θεοῦ, Υἱὸς τῆς Παρθένου

γίνεται, καὶ Γαβριὴλ τὴν χάριν εὐαγγελίζεται. Διὸ (καὶ ἡμεῖς) σὺν αὐτῷ τῇ Θεοτόκῳ βοήσωμεν· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ.
*Κοντάκιον Ἦχος πλ. δ'* Τῇ ὑπερμάχῳ στρατηγῷ τὰ νικητήρια, ὡς λυτρωθεῖσα τῶν δεινῶν εὐχαριστήρια, ἀναγράφω σοι ἡ Πόλις σου Θεοτόκε. Ἀλλ' ὡς ἔχουσα τὸ κράτος ἀπροσμάχητον, ἐκ παντοίων με κινδύνων ἐλευθέρωσον· ἵνα κράζω σοι· Χαῖρε νύμφη ἀνύμφευτε.

## καὶ Δοξολογία (επιλογή στίχων)

**ΜΕΓΑΛΗ ΔΟΞΟΛΟΓΙΑ**

**Δόξα σοι τῷ δείξαντι τὸ φῶς, Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.**
**Ὑμνοῦμέν σε, εὐλογοῦμέν σε, προσκυνοῦμέν σε, δοξολογοῦμέν σε, εὐχαριστοῦμέν σοι, διὰ τὴν μεγάλην σου δόξαν.**
**Κύριε βασιλεῦ, ἐπουράνιε Θεέ, Πάτερ παντοκράτορ, Κύριε Υἱὲ μονογενές, Ἰησοῦ Χριστέ, καὶ Ἅγιον Πνεῦμα,**
**Κύριε ὁ Θεός, ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ Υἱὸς τοῦ Πατρός, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἐλέησον ἡμᾶς, ὁ αἴρων τὰς ἁμαρτίας τοῦ κόσμου.**
**Πρόσδεξαι τὴν δέησιν ἡμῶν, ὁ καθήμενος ἐν δεξιᾷ τοῦ Πατρός, καὶ ἐλέησον ἡμᾶς.**
**Ὅτι σὺ εἶ μόνος Ἅγιος, σὺ εἶ μόνος Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν.**
**Καθ' ἑκάστην ἡμέραν εὐλογήσω σε, καὶ αἰνέσω τὸ ὄνομά σου εἰς τὸν αἰῶνα, καὶ εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.**
**Καταξίωσον, Κύριε, ἐν τῇ ἡμέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς.**
**Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν.**
**Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ.**
**Εὐλογητὸς εἶ, Κύριε. δίδαξόν με τὰ δικαιώματά σου (γ').**
**Κύριε, καταφυγὴ ἐγενήθης ἡμῖν, ἐν γενεᾷ καὶ γενεᾷ,**
**Ἐγὼ εἶπα· Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι.**
**Κύριε, πρὸς σὲ κατέφυγον, δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.**
**Ὅτι παρὰ σοὶ πηγὴ ζωῆς, ἐν τῷ φωτί σου ὀψόμεθα φῶς.**
**Παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε.**
**Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (γ').**
**Δόξα... Καὶ νῦν... Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.**
**Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς.**

Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον. *(Χ.:Κύριε, ελέησον 3)*

Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ Ὀρθοδόξων Χριστιανῶν.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν… , καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Ἔτι δεόμεθα ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους καὶ πάσης Ἀρχῆς καὶ ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηράν, θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν Στρατοῦ, καὶ ὑπέρ τοῦ Κύριον τὸν Θεὸν ἡμῶν ἐπὶ πλέον συνεργῆσαι καὶ κατευοδῶσαι αὐτοὺς ἐν πᾶσιν.

Ἔτι δεόμεθα ὑπὲρ μακαρίας μνήμης καὶ αἰωνίου ἀναπαύσεως πάντων τῶν ἐν τοῖς ἱεροῖς ἡμῶν ἀγῶσιν ὑπὲρ

πίστεως καὶ πατρίδος ἀγωνισαμένων καὶ πεσόντων καὶ ὑπέρ τοῦ συγχωρηθῆναι αὐτοῖς πᾶν πλημμέλημα ἑκούσιόν τε καὶ ἀκούσιον.*(Χ.:αιωνία η μνήμη 3)*

Ἔτι δεόμεθα ὑπὲρ τοῦ διαφυλαχθῆναι τὴν ἁγίαν Ἐκκλησίαν (Μονήν) καὶ τὴν πόλιν ταύτην, καὶ πᾶσαν πόλιν καὶ χώραν ἀπὸ ὀργῆς, λοιμοῦ, λιμοῦ, σεισμοῦ, καταποντισμοῦ, πυρός, μαχαίρας, ἐπιδρομῆς ἀλλοφύλων, ἐμφυλίου πολέμου, καὶ αἰφνιδίου θανάτου, ὑπὲρ τοῦ ἵλεων, εὐμενῆ καὶ εὐδιάλακτον, γενέσθαι τὸν ἀγαθὸν καὶ φιλάνθρωπον Θεὸν ἡμῶν, τοῦ ἀποστρέψαι καί, διασκεδάσαι πᾶσαν ὀργὴν καὶ νόσον, τὴν καθ' ἡμῶν κινουμένην, καὶ ῥύσασθαι ἡμᾶς ἐκ τῆς ἐπικειμένης δικαίας αὐτοῦ ἀπειλῆς, καὶ ἐλεῆσαι ἡμᾶς. *(Κύριε, ελέησον (40-τετράκις ανά 10-και αυθις εκ γ΄)*

Ἔτι δεόμεθα καὶ ὑπὲρ τοῦ εἰσακοῦσαι Κύριον τὸν Θεὸν φωνῆς τῆς δεήσεως ἡμῶν τῶν ἁμαρτωλῶν, καὶ ἐλεῆσαι ἡμᾶς. *(Χ.:Κύριε, ελέησον 3)*

- *Ἐπάκουσον ἡμῶν, ὁ Θεός, ὁ Σωτὴρ ἡμῶν, ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλάσσῃ μακράν, καὶ ἵλεως, ἵλεως γενοῦ ἡμῖν, Δέσποτα ἐπὶ ταῖς ἁμαρτίαις ἡμῶν, καὶ ἐλέησον ἡμᾶς.*

Τοῦ Κυρίου δεηθῶμεν. *(Χ. :Κύριε, ελέησον)*
Κύριε ὁ Θεὸς ἡμῶν, ὁ τὰ σύμπαντα τῷ σῷ κράτει συνέχων τῇ θείᾳ σου καὶ πανσθενεῖ βουλῇ κυβερνῶν, ὁ ἑκάστω ἔθνει τὰς ἰδίας ὁροθεσίας θέμενος, τὸ δὲ εὐσεβές ἡμῶν Ἔθνος ἐξαιρέτως εὐεργετήσας, τὴν ἐπίγνωσιν τῆς σῆς ἀληθείας αὐτῷ χαρισάμενος, καὶ πρὸς τὸ φῶς τῆς ἀληθοῦς ἡμῶν θρησκείας καθοδηγήσας, ἐξ αὐτοῦ δὲ μεγάλους τῆς Ἐκκλησίας πατέρας καὶ διδασκάλους ἀναδείξας, καὶ ἐλεύθερον μὲν αὐτὸ ἐπὶ αἰῶνας διατηρήσας τῇ θείᾳ σου χάριτι, δουλωθὲν δὲ στηρίξας καὶ διασώσας καὶ εἰς ἐλεύθερον αὖθις βίον αὐτὸ ἐξαναστήσας, Αὐτός, πανάγιε Δέσποτα, πρόσδεξαι τὰς εὐχαριστηρίους ἡμῶν δεήσεις ἐπὶ τῇ ἀπελευθερώσει καὶ τῇ παλιγγενεσίᾳ αὐτοῦ. Καὶ τὰς μὲν ψυχὰς τῶν ὑπὲρ Πίστεως καὶ Πατρίδος ἡρωϊκῶς ἀγωνισαμένων καὶ ἐνδόξως ἐν τοῖς ἱεροῖς ἡμῶν ἀγῶσι πεσόντων ἢ ὑπὸ τῶν πολεμίων ἀναιρεθέντων πατέρων καὶ ἀδελφῶν ἡμῶν μετὰ τῶν ἀπ' αἰῶνός σοι εὐαρεστησάντων ἀνάπαυσον. Ἡμᾶς δὲ πάντας ἀξίους τῆς ἐλευθερίας ἀνάδειξον, ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον καὶ εἰς πᾶν ἔργον ἀγαθὸν καὶ

σοὶ εὐάρεστον καθοδήγησον, τοὺς πιστοὺς ἄρχοντας ἡμῶν ἐν εἰρήνῃ καὶ ὁμονοίᾳ διατήρησον καὶ λάλησον ἀγαθὰ ἐν ταῖς καρδίαις αὐτῶν ὑπὲρ τῆς Ἐκκλησίας σου καὶ παντὸς τοῦ λαοῦ σου. Σὺ γὰρ εἶ ὁ Βασιλεὺς τῆς εἰρήνης καὶ Σωτὴρ τῶν ψυχῶν ἡμῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων, Ἀμήν.

Ἀπόλυσις**«...Ὁ δι' ἡμᾶς τούς ἀνθρώπους καί διά τήν ἡμετέραν σωτηρίαν ἐκ Πνεύματος ῾Αγίου καί Μαρίας τῆς Παρθένου σαρκωθῆναι καταδεξάμενος Χριστός ὁ ἀληθινός Θεός ἡμῶν...».**

Στιχηρὸν Ἰδιόμελον, ψαλλόμενον ὅταν Τυπικὴ διάταξις ἀπαιτήσῃ αυτό.
Ἦχος πλ. δ'Ἰωάννου Μοναχοῦ
Εὐφραινέσθωσαν οἱ οὐρανοί, καὶ ἀγαλλιάσθω ἡ γῆ· ὁ γὰρ τοῦ Πατρὸς συναΐδιος καὶ συνάναρχος καὶ σύνθρονος Υἱός, οἶκτον λαβὼν καὶ φιλάνθρωπον ἔλεον, ἑαυτόν καθῆκεν είς κένωσιν κατ' εὐδοκίαν καὶ βούλησιν Πατρικήν, καὶ μήτραν ᾤκησε Παρθενικήν, προαγνισθεῖσαν τῷ Πνεύματι. Ὢ τοῦ θαύματος! ὁ Θεὸς ἐν ἀνθρώποις, ὁ ἀχώρητος ἐν μήτρᾳ, ὁ ἄχρονος ἐν χρόνῳ, καὶ τὸ παράδοξον, ὅτι καὶ ἡ σύλληψις ἄσπορος, καὶ ἡ κένωσις ἄφραστος, καὶ τὸ μυστήριον ὅσον! Ὁ Θεὸς γὰρ κενοῦται, καὶ σαρκοῦται καὶ πλάττεται, Ἀγγέλου πρὸς τὴν Ἁγνήν, τὴν σύλληψιν λέξαντος· Χαῖρε Κεχαριτωμένη, ὁ Κύριος μετὰ σοῦ, ὁ ἔχων τὸ μέγα ἔλεος.

***Θεία Λειτουργία (ο Χορός).**** *Ι. Εὐλογημένη ἡ βασιλεία τοῦ Πατρὸς...*/ Ἀμήν./ Κύριε ἐλέησον (12ἢ13). /Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. / Σοὶ, Κύριε./Αμήν. *στίχος α΄. ...***Ταῖς πρεσβείαις τῆς Θεοτόκου, Σῶτερ, σῶσον ἡμᾶς(3).**/.Κύριε, ελέησον (2). /Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. / Σοι, Κύριε./ Ἀμήν. Στίχ. α'. ...**Σῶσον ἡμᾶς, Υἱὲ Θεοῦ, ὁ ἀναστὰς ἐκ νεκρῶν (ἢ ὁ ἐν Ἁγίοις θαυμαστός, ή...), ψάλλοντάς σοι· Ἀλληλούϊα (3)**. Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ είς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. **Ὁ Μονογενὴς Υἱὸς καὶ Λόγος τοῦ Θεοῦ, ἀθάνατος ὑπάρχων καὶ καταδεξάμενος διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκωθῆναι ἐκ τῆς ἁγίας Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, ἀτρέπτως ἐνανθρωπήσας, σταυρωθείς τε Χριστὲ ὁ Θεός, θανάτῳ θάνατον πατήσας, εἷς ὢν τῆς Ἁγίας Τριάδος, συνδοξαζόμενος τῷ Πατρὶ καὶ τῷ ἁγίῳ Πνεύματι, σῶσον ἡμᾶς**./ Κύριε ἐλέησον (2). / Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς. / Σοὶ, Κύριε. / Ἀμήν. *Στίχ. α΄. ...Ἀπολυτίκιον/(ἐὰν εἶναι ἕνας ἱερεύς:) ὁ α΄χορός:* **Δεῦτε προσκυνήσωμεν** ...*ΑΠΟΛΥΤΙΚΙΑ.*ΤΑ 8 ΑΝΑΣΤΑΣΙΜΑ ΑΠΟΛΥΤΙΚΙΑ, *Ἦχος α'.* **Τοῦ λίθου σφραγισθέντος ὑπὸ τῶν Ἰουδαίων καὶ στρατιωτῶν φυλασσόντων τὸ ἄχραντόν σου Σῶμα, ἀνέστης τριήμερος, Σωτήρ, δωρούμενος τῷ κόσμῳ τὴν ζωήν· διὰ τοῦτο αἱ δυνάμεις τῶν οὐρανῶν ἐβόων σοί, Ζωοδότα· Δόξα τῇ Ἀναστάσει σου, Χριστέ, δόξα τῇ βασιλείᾳ σου, δόξα τῇ οἰκονομίᾳ σου, μόνε φιλάνθρωπε.**
*Ἦχος β'.* **Οτε κατῆλθες πρὸς τὸν θάνατον, ἡ Ζωὴ ἡ ἀθάνατος, τότε τὸν Ἅιδην ἐνέκρωσας,τῇ ἀστραπῇ τῆς Θεότητος· ὅτε δὲ καὶ τοὺς τεθνεῶτας ἐκ τῶν καταχθονίων ἀνέστησας, πᾶσαι αἱ Δυνάμεις τῶν ἐπουρανίων ἐκραύγαζον· Ζωοδότα Χριστέ, ὁ Θεὸς ἡμῶν, δόξα σοι.**
*Ἦχος γ'.* **Εὐφραινέσθω τὰ οὐράνια, ἀγαλλιάσθω τὰ ἐπίγεια, ὅτι ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ ὁ Κύριος· ἐπάτησε τῷ θανάτῳ τὸν θάνατον· πρωτότοκος τῶν νεκρῶν ἐγένετο· ἐκ κοιλίας Ἅιδου ἐῤῥύσατο ἡμᾶς, καὶ παρέσχε τῷ κόσμῳ τὸ μέγα ἔλεος.**
*Ἦχος δ'.* **Τὸ φαιδρὸν τῆς Ἀναστάσεως κήρυγμα, ἐκ τοῦ Ἀγγέλου μαθοῦσαι αἱ τοῦ Κυρίου Μαθήτριαι, καὶ τὴν προγονικὴν ἀπόφασιν ἀπορρίψασαι, τοῖς Ἀποστόλοις καυχώμεναι ἔλεγον· Ἐσκύλευται ὁ θάνατος, ἠγέρθη Χριστὸς ὁ Θεός, δωρούμενος τῷ κόσμῳ τὸ μέγα ἔλεος.**
*Ἦχος πλ. α'.* **Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα είς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν, πιστοὶ καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε, σαρκὶ ἀνελθεῖν ἐν τῷ σταυρῷ, καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ Ἀναστάσει αὐτοῦ.**
*Ἦχος πλ. β'.* **Αγγελικαὶ Δυνάμεις ἐπὶ τὸ μνῆμά σου, καὶ οἱ φυλάσσοντες, ἀπενεκρώθησαν· καὶ ἵστατο Μαρία ἐν τῷ τάφῳ, ζητοῦσα τὸ ἄχραντόν σου σῶμα. Ἐσκύλευσας τὸν Ἅιδην, μὴ πειρασθεὶς ὑπ' αὐτοῦ· ὑπήντησας τῇ Παρθένῳ, δωρούμενος τὴν ζωήν. Ὁ ἀναστὰς ἐκ τῶν νεκρῶν, Κύριε δόξα σοι.**
*Ἦχος βαρύς.* **Κατέλυσας τῷ Σταυρῷ σου τὸν θάνατον· ἠνέῳξας τῷ Ληστῇ τὸν Παράδεισον· τῶν Μυροφόρων τὸν θρῆνον μετέβαλες· καὶ τοῖς σοῖς Ἀποστόλοις κηρύττειν ἐπέταξας· ὅτι ἀνέστης, Χριστὲ ὁ Θεός, παρέχων τῷ κόσμῳ τὸ μέγα ἔλεος.**
*Ἦχος πλ. δ'.* **Εξ ὕψους κατῆλθες ὁ εὔσπλαγχνος, ταφὴν κατεδέξω τριήμερον, ἵνα ἡμᾶς ἐλευθερώσῃς τῶν παθῶν. Ἡ ζωὴ καὶ ἡ ἀνάστασις ἡμῶν, Κύριε, δόξα σοι.**

***25-7, 9-12, Ἦχος δ', Ταχὺ προκατάλαβε,*** Ζωὴν τὴν κυήσασαν, ἐκυοφόρησας, ἁγνὴν Θεομήτορα, θεόφρον Ἄννα· διὸ πρὸς λῆξιν οὐράνιον, ἔνθα εὐφραινομένων, κατοικία ἐν δόξῃ, χαίρουσα νῦν μετέστης, τοῖς τιμῶσί σε πόθῳ, πταισμάτων αἰτουμένη, ἱλασμὸν ἀειμακάριστε.***ΗΧΟΣ Γ΄. ΘΕΙΑΣ ΠΙΣΤΕΩΣ.*** Γόνος γέγονας Γάνου καὶ Χώρας, μέγα καύχημα νήσου Καλύμνου, παμμακάριστε Σάββα, πατήρ ἡμῶν· καὶ γὰρ ὁδόν διελθών τῆς ἀσκήσεως, τοῦ ἀκροτάτου τέλους ἐπέτυχες. Διὸ πρέσβευε Χριστῷ τῷ Θεῷ, σωθῆναι τὰς ψυχὰς ἡμῶν. ***ΚΟΝΤΑΚΙΟΝ/*** Κύριε ἐλέησον./Ἀμήν. **Ἅγιος ὁ Θεός, Ἅγιος ἰσχυρός, Ἅγιος ἀθάνατος,**

**<u>ἐλέησον ἡμᾶς.(*τρίς*). Δόξα Πατρί καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν. Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς.</u>**/(*<u>νε</u>*) Δύναμις. (*<u>αργά</u>*)**<u>Ἅγιος ὁ Θεὸς - Ἅγιος ἰσχυρός - Ἅγιος ἀθάνατος, ἐλέησον ἡμᾶς</u>**. */ΑΠΟΣΤΟΛΟΣ.* **Τὰ Προκείμενα τοῦ Ἀποστόλου των Κυριακων.** ***Προκείμενον. Ἦχος α',*** Γένοιτο, Κύριε, τὸ ἔλεός σου ἐφ΄ ἡμᾶς. ***Στίχ.*** Ἀγαλλιᾶσθε, δίκαιοι, ἐν Κυρίῳ.
***Προκείμενον. Ἦχος β',*** Ἰσχύς μου καὶ ὕμνησίς μου ὁ Κύριος. ***Στίχ.*** Παιδεύων ἐπαίδευσέ με ὁ Κύριος.
***Προκείμενον. Ἦχος γ',*** Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε. ***Στίχ.*** Πάντα ἔθνη κροτήσατε χεῖρας.
***Προκείμενον. Ἦχος δ',*** Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε· πάντα ἐν σοφίᾳ ἐποίησας. ***Στίχ.*** Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.
***Προκείμενον. Ἦχος πλ. α΄,*** Σύ, Κύριε, φυλάξαις ἡμᾶς καὶ διατηρήσαις ἡμᾶς. ***Στίχ.*** Σῶσόν με, Κύριε, ὅτι ἐκλέλοιπεν ὅσιος.
***Προκείμενον. Ἦχος πλ. β΄,*** Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου. ***Στίχ.*** Πρός σέ, Κύριε, κεκράξομαι, ὁ Θεός μου.
***Προκείμενον. Ἦχος βαρύς,*** Κύριος ἰσχὺν τῷ λαῷ αὐτοῦ δώσει. ***Στίχ.*** Ἐνέγκατε τῷ Κυρίῳ υἱοὶ Θεοῦ, ἐνέγκατε τῷ Κυρίῳ δόξαν καὶ τιμήν.
***Προκείμενον. Ἦχος πλ, δ',*** Εὔξασθε καὶ ἀπόδοτε Κυρίῳ τῷ Θεῷ ἡμῶν. ***Στίχ.*** Γνωστός ἐν τῇ Ἰουδαίᾳ ὁ Θεός, ἐν τῷ Ἰσραὴλ μέγα τὸ ὄνομα αὐτοῦ.

/Ἀλληλούια. Ἀλληλούια. Ἀλληλούια./Καὶ τῷ πνεύματί σου./Δόξα σοι, Κύριε, δόξα σοι. / *ΕΥΑΓΓΕΛΙΟΝ/* Δόξα σοι, Κύριε, δόξα σοι. .....................................

[***Πότε λέμε "Εις πολλά έτη Δέσποτα" στην Θεία Λειτουργία: μετά την ανάγνωση του Ευαγγελίου σύντομα και μετά το τέλος του χερουβικου ύμνου, όταν ευλογει με το σταυρό.***
**ΕΝ ΑΡΧΙΕΡΑΤΙΚΗ Θ. ΛΕΙΤΟΥΡΓΙΑ. <u>Τρισάγιον.</u> Πρωτοψάλτης**: Άγιος ο Θεός…***Λαμπαδάριος***: Άγιος ο Θεός…***Ιερό Βημα:*** Άγιος ο Θεός…***Πρωτοψάλτης***: Άγιος ο Θεός …***Ιερό Βημα:*** Άγιος ο Θεός …***(σύνολο πέντε). Λαμπαδάριος***: Δόξα Πατρί…***Πρωτοψάλτης***: Και νυν…***Λαμπαδάριος:*** Άγιος Αθάνατος… ***Ιερό Βημα: <u>Άγιος ο Θεός.</u>*** *(άρχεται το δύναμις του βήματος).* ***Αρχιερεύς***: Κύριε, Κύριε επίβλεψον…..κτλ.. ***Πρωτοψάλτης***: εις πολλά έτη Δέσποτα Ή ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ. ***Ιερό Βημα: <u>Άγιος Ισχυρός.</u> Αρχιερεύς*** :Κύριε, Κύριε… ***Λαμπαδάριος***: εις πολλά έτη…Ή ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ. ***Ιερό Βημα: <u>Άγιος Αθάνατος.</u> Αρχιερεύς***: Επίβλεψον…***Πρωτοψάλτης***: εις πολλά έτη...Ή ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ. ***Ιερό Βημα*** : **<u>ελέησον ημας.</u>** ***Διάκονος***: ΔΥΝΑΜΙΣ…***Και οι χοροί ψάλλουν εναλλάξ το Δύναμις. Ιερό Βημα:*** Κύριε, σωσον τους ευσεβεις (***τρις***) …***σε ηχο τρίτο και ανά μία οι χοροί. Ιερό Βημα***: και επάκουσον…..(***κλείνει***).
***Φήμη Αρχιερέως εκ τρίτου…(συνήθως προηγειται εμμελής απαγγελία υπό του διακόνου και επανάληψη από Ιερό Βήμα, πρωτοψάλτη και Λαμπαδάριο).*** [Βαρθολομαίου του Παναγιωτάτου και Οικουμενικου Πατριάρχου, πολλά τα έτη./ Παϊσίου του Σεβασμιωτάτου και Θεοπροβλήτου Μητροπολίτου της Αγιωτάτης Μητροπόλεως Λέρου, Καλύμνου και Αστυπαλαίας, Υπερτίμου και Εξάρχου των Σποράδων νήσων, ημων δε πατρός και ποιμενάρχου, πολλά τα έτη] ***Κλείνει ο κύκλος με το Αποστολικό ανάγνωσμα. Σημ: Μετά τη Ανάγνωση του Ευαγγελίου ψάλλονται το Δόξα σοι Κύριε …. <u>Και εν συνεχεία το εις πολλά έτη….</u>***
***Ὅσοι εἰς Χριστὸν/ ἐβαπτίσθητε, /Χριστὸν ἐνεδύσασθε, /Ἀλληλούϊα.***
***Τὸν Σταυρόν Σου / προσκυνοῦμεν Δέσποτα,/ καὶ τὴν Ἁγίαν Σου Ἀνάστασιν /δοξάζομεν.]***
**………………………………**

[ Κύριε ἐλέησον (γ΄) (8) (*τὴν τελευταίαν ἅπαξ)* / Ἀμήν. / Κύριε ἐλέησον.(7) / Σοί, Κύριε. / Ἀμήν. / Κύριε ἐλέησον.(2)/ Ἀμήν./Κύριε ἐλέησον (2).] **Ἀμήν. <u>Οἱ τὰ Χερουβεὶμ μυστικῶς εἰκονίζοντες, καὶ τῇ ζωοποιῷ Τριάδι τὸν τρισάγιον ὕμνον προσᾴδοντες, πᾶσαν τὴν βιοτικὴν ἀποθώμεθα μέριμναν, - ὡς τὸν Βασιλέα τῶν ὅλων ὑποδεξόμενοι.</u>** <u>/ Ἀμήν. Ταῖς ἀγγελικαῖς ἀοράτως δορυφορούμενον τάξεσιν. Ἀλληλούϊα (γ΄). /</u> Κύριε ἐλέησον.(5) / Παράσχου Κύριε(6)./Ὑπεραγία Θεοτόκε, σῶσον ἡμᾶς./Σοί, Κύριε./Ἀμήν./Καὶ τῷ πνεύματί σου./Πατέρα, Υἱὸν καὶ Ἅγιον Πνεῦμα, Τριάδα ὁμοούσιον καὶ ἀχώριστον (***στὰ συλλείτουργα:*** Ἀγαπήσω σε, Κύριε, ἡ ἰσχύς μου, Κύριος στερέωμά μου, καὶ καταφυγή μου καὶ ῥύστης μου)./Πιστεύω εἰς ἕνα Θεόν, Πατέρα, Παντοκράτορα, ποιητὴν οὐρανοῦ καὶ γῆς, ὁρατῶν τε πάντων καὶ ἀοράτων. Καὶ εἰς ἕνα Κύριον Ἰησοῦν Χριστόν, τὸν Υἱὸν τοῦ Θεοῦ τὸν μονογενῆ, τὸν ἐκ τοῦ Πατρὸς γεννηθέντα πρὸ πάντων τῶν αἰώνων· φῶς ἐκ φωτός, Θεὸν ἀληθινὸν ἐκ Θεοῦ ἀληθινοῦ, γεννηθέντα οὐ ποιηθέντα, ὁμοούσιον τῷ Πατρί, δι' οὗ τὰ πάντα ἐγένετο. Τὸν δι' ἡμᾶς τοὺς ἀνθρώπους καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν κατελθόντα ἐκ τῶν οὐρανῶν καὶ σαρκωθέντα ἐκ Πνεύματος Ἁγίου καὶ Μαρίας τῆς Παρθένου καὶ ἐνανθρωπήσαντα.Σταυρωθέντα τε ὑπὲρ ἡμῶν ἐπὶ Ποντίου Πιλάτου, καὶ παθόντα καὶ ταφέντα. Καὶ ἀναστάντα τῇ τρίτῃ ἡμέρᾳ κατὰ τὰς Γραφάς. Καὶ ἀνελθόντα εἰς τοὺς οὐρανοὺς καὶ καθεζόμενον ἐκ δεξιῶν τοῦ Πατρός. Καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκρούς, οὗ τῆς βασιλείας οὐκ ἔσται τέλος. Καὶ εἰς τὸ Πνεῦμα τὸ Ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον, τὸ λαλῆσαν διὰ τῶν προφητῶν. Εἰς μίαν, Ἁγίαν, Καθολικὴν καὶ Ἀποστολικὴν Ἐκκλησίαν.Ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν. Προσδοκῶ ἀνάστασιν νεκρῶν.Καὶ ζωὴν τοῦ μέλλοντος αἰῶνος. Ἀμήν./ Ἔλεον εἰρήνης, θυσίαν αἰνέσεως./Καὶ μετὰ τοῦ πνεύματός σου./Ἔχομεν πρὸς τὸν Κύριον. / Ἄξιον καὶ δίκαιον./ **Ἅγιος, ἅγιος, ἅγιος Κύριος Σαβαώθ· πλήρης ὁ οὐρανὸς καὶ ἡ γῆ τῆς δόξης σου, ὡσαννὰ ἐν τοῖς ὑψίστοις. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Ὡσαννὰ (ὁ) ἐν τοῖς ὑψίστοις.** / Ἀμήν. / Ἀμήν./Σὲ ὑμνοῦμεν, σὲ εὐλογοῦμεν, σοὶ εὐχαριστοῦμεν, Κύριε, καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν./ **<u>Ἄξιόν ἐστιν ὡς ἀληθῶς μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν</u>**

**τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ· τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.** / Κύριε ἐλέησον./Καὶ πάντων καὶ πασῶν. / Ἀμήν. / Και μετά του πνεύματος σου./[*Κύριε ἐλέησον (5). Παράσχου Κύριε (6)]* ἢ **Κύριε ἐλέησον(3)**/Σοί, Κύριε./Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς· ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ. /Ἀμήν. / Καὶ τῷ πνεύματί σου./Σοί, Κύριε./Ἀμήν./ Εἷς Ἅγιος, εἷς Κύριος, Ἰησοῦς Χριστός, εἰς δόξαν Θεοῦ Πατρός. Ἀμήν. **Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν. Ἀλληλούϊα.** *(Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου…)*/ Τοῦ δείπνου σου τοῦ μυστικοῦ, σήμερον Υἱὲ Θεοῦ κοινωνόν με παράλαβε· οὐ μὴ γὰρ τοῖς ἐχθροῖς σου τὸ μυστήριον εἴπω· οὐ φίλημά σοι δώσω, καθάπερ ὁ Ἰούδας· ἀλλ' ὡς ὁ λῃστὴς ὁμολογῶ σοι· Μνήσθητί μου Κύριε ἐν τῇ βασιλείᾳ σου./ **Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες, αὕτη γὰρ ἡμᾶς ἔσωσεν.** / Ἀμήν./ Κύριε ἐλέησον (2)./Σοί, Κύριε./Ἀμήν./Κύριε ἐλέησον./Ἀμήν. **Εἴη τὸ ὄνομα Κυρίου εὐλογημένον ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος.**(*τρίς*)./(*Μετά πνευμάτων δικαίων…*)/Κύριε ἐλέησον. / Ἀμήν. / Δόξα Πατρί… Καὶ νῦν… Κύριε ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον. /Τὸν εὐλογοῦντα καὶ ἁγιάζοντα ἡμᾶς, Κύριε, φύλαττε εἰς πολλὰ ἔτη./Ἀμήν.

**ό,τι ειναι υπογραμμισμένο αλλάζει ενδεχομένως από Λειτουργία σε Λειτουργία. χρειάζεται ακόμη μία σελίδα κάθε φορά - που θα έχει τον Απόστολο, τα τροπάρια, το Κοντάκιο κλπ.- και η οποία πρέπει να εκτυπώνεται μαζί με αυτήν την σελίδα, βλέπε εδω:* ***https://www.youtube.com/user/KERMENI*** *(βλέπε στις πληροφορίες), και εδω:* ***https://apologhtika.blogspot.com/2023/10/4.html*** *, έχοντας την παρουσα φωτοτυπία όλοι γίνονται πρακτικοί ψάλτες!!*

**ΑΡΤΟΚΛΑΣΙΑ**

**Ἐλέησον ἡμᾶς, ὁ Θεὸς, κατὰ τὸ μέγα ἔλεός Σου· δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον. (Χ.: ΚΥΡΙΕ, ΕΛΕΗΣΟΝ γ΄)…..***Ὁ Χορός·* **Ἀμήν.** *Ὁ Ἱερεύς·* **+ Εἰρήνη πᾶσι.** *Ὁ Χορός·* **Καὶ τῷ πνεύματί σου.** *Ὁ Διάκονος·* **Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.** *Ὁ Χορός·* **Σοί, Κύριε.** *Ὁ Ἱερεύς·* **Δέσποτα, πολυέλεε…** *Ὁ Χορός·* **Ἀμήν.** *Ὁ Ἱερεὺς θυμιᾷ καὶ ὁ Χορὸς ψάλλει· Ἦχος πλ. α΄.* **Θεοτόκε Παρθένε, χαῖρε Κεχαριτωμένη Μαρία ὁ Κύριος μετὰ σοῦ· εὐλογημένη Σὺ ἐν γυναιξί, καὶ εὐλογημένος ὁ καρπὸς τῆς κοιλίας σου, ὅτι Σωτῆρα ἔτεκες τῶν ψυχῶν ἡμῶν.** *Ἐν τῇ Διακαινησίμῳ ἑβδομάδι, ἀντὶ τοῦ <Θεοτόκε Παρθένε>, ψάλλεται τό·* ***<Χριστὸς ἀνέστη>.*** *Ὁ Διάκονος·* **Τοῦ Κυρίου δεηθῶμεν.** *Ὁ Χορός·* **Κύριε, ἐλέησον.** *Ὁ Ἱερεύς(λαβὼν ἕναν ἄρτον καὶ εὐλογῶν αὐτόν)·* **+ Κύριε, Ἰησοῦ Χριστέ,….** *Ὁ Χορός·* **Ἀμήν.** *(ἀσπασμὸς ἄρτου) Ὁ Ἱερεύς· Ἦχος βαρύς.* **Πλούσιοι ἐπτώχευσαν καὶ ἐπείνασαν· οἱ δὲ ἐκζητοῦντες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παντὸς ἀγαθοῦ.** *Οἱ δὲ Χοροὶ ἐπαναλαμβάνουσι τὸ αὐτὸ δίς.] ΑΠΟΣΤΙΧΑ (Ἢ ΑΠΟΛΥΤΙΚΙΟΝ ΚΑΙ ΘΕΙΑ ΛΕΙΤΟΥΡΓΙΑ).*